# Badische Landesbibliothek Karlsruhe

**Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe**


## De imitatione Christi - Cod. Ettenheim-Münster 383

**Thomas <von Kempen>**

**[S.l.], [18. Jahrh.]**

De imitatione Christi. Officium defunctorum

urn:nbn:de:bsz:31-133348

Visual Library

βιβ: α. κεφ: κδ. στιχεῖα δ. ἀχπν. ια Μετ: α

δ. Οὐδεμία χαρὰ ἔσται, ἢ τὴν ἰδίαν αὐ-
τῆς, ξόανον οὐκ ἔξουσα. ἐκεῖ ὑπερήφα-
νοι πάσῃ αἰσχύνῃ πληρωθήσονται, καὶ οἱ
πλεονέκται ἀθλιωτάτῃ ἀπορίᾳ στενοχω-
ρηθήσονται. ἐκεῖ μία ὥρα βαρυτέρα
ἔσται ἐν τῇ ποινῇ, ἢ ἑκατὸν ἔτη ὧδε ἐν
πικροτάτῃ μετανοίᾳ. Ἐκεῖ οὐδεμία ἡ-
συχία, ἢ παράκλησις τοῖς καταδικασθεῖσι
γενήσεται· ἔξεστι δὲ ἐνθάδε ποτὲ τῶν κα-
μάτων παύεσθαι, καὶ τὴν τῶν φίλων παρα-
μυθίαν καρποῦσθαι. Ἤδη μερίμνα, καὶ
ἐπὶ ταῖς ἁμαρτίαις σου ἄχθου, ὅπως ἐν
τῇ τῆς κρίσεως ἡμέρᾳ σὺν τοῖς μακα-
ρίοις ἀμεριμνήσῃς. τότε γὰρ στήσονται
ἐν παρρησίᾳ πολλῇ οἱ δίκαιοι κατὰ πρό-
σωπον τῶν θλιψάντων, καὶ ταπεινωσάντων αὐ-
τούς. τότε στήσεται τοῦ δικάσαι, ὁ νῦν ἑ-
αυτὸν τῇ τῶν ἀνθρώπων δίκῃ ταπεινῶς
ὑποτάσσων. τότε ὁ πτωχὸς καὶ ταπεινὸς μέγα
σφόδρα θαρσήσει, καὶ ὁ ὑπερήφανος παν-
ταχόθεν ἐκφοβηθήσεται.

ε. Τότε σοφὸς ἐν τῷδε τῷ κόσμῳ γενέ-
σθαι δόξει, ὁ διὰ τὸν Χριστὸν μωρὸς καὶ κατα-
φρόνητος εἶναι μεμαθηκώς. τότε πᾶσα
θλίψις καρτερηθεῖσα ἀρέσει, καὶ πᾶσα

βιβ: ά. κεφ: κδ. στιγμὴ ε. αχπγ. ιε Μετ:

ἀνοσμία ἐμμιάζει τὸ σῶμα αὐτῆς. τότε
χαρήσεται πᾶς θεοσεβὴς καὶ πᾶς δυσσε-
βὴς ἀλγήσει. τότε ἡ θλιφθεῖσα σὰρξ ἀ-
γαλλιάσεται μᾶλλον ἢ ἀεὶ τῇ τρυφῇ
ἐντεθραμμένης. τότε τὸ εὐτελὲς σχῆ-
μα ἐκλάμψει, καὶ ἡ λεπτὴ ἐσθὴς σκοτι-
σθήσεται. τότε πενιχρὸν οἰκημάτιον
μᾶλλον ἐπαινεθήσεται, ἢ διάχρυσον πα-
λάτιον. τότε πλέον συνοίσει ἡ βεβαί-
α ὑπομονὴ ἢ πᾶσα δύναμις τοῦ κόσμου.
τότε μᾶλλον ὑψωθήσεται ἡ ἁπλῆ ὑπα-
κοὴ ἢ πᾶσα κοσμικὴ πανουργία.

---

ς. Τότε μᾶλλον εὐφρανεῖ ἡ καθαρὰ καὶ
ἀγαθὴ συνείδησις, ἢ ἡ πεπαιδευμένη
φιλοσοφία. τότε μείζονος τιμηθήσεται
ἡ τοῦ πλούτου καταφρόνησις ἢ πᾶς θησαυρὸς
τῶν γηγενῶν. τότε τῇ εὐσεβεῖ προσευχῇ
μᾶλλον παρακληθήσῃ ἢ τῇ τρυφερᾷ ἐδω-
δῇ. τότε μᾶλλον τῇ διατηρηθείσῃ σιγῇ,
ἢ τῇ μακρολογίᾳ χαρήσῃ. τότε πλέον ἰ-
σχύσει τὰ ἅγια ἔργα, ἢ πολλοὶ καλοὶ
λόγοι. τότε μᾶλλον ἀρέσει ὁ αὐστηρὸς
βίος, καὶ ἡ δεινὴ μετάνοια, ἢ πᾶσα τέρ-
ψις ἐπίγειος. Ἐν τῷ παρόντι μάθε ὀλίγον
παθεῖν, ἵνα τότε τῶν δεινοτέρων ἀπαλ-
λαχθῆναι οἷός τε γένῃ. ἐνθάδε πρῶτον
τὴν πεῖραν λάμβανε, τί ἂν δύναιο

αὐτῆς δ' ἀποχωρισθείσης, ἀπορήσει καὶ ἀσθενήσει, ὡς μόνος εἰς τὰς μάστιγας καταλειφθείς. ἐπὶ ταύταις δ' οὐ χρή σε ἀθυμεῖν, οὐδ' ἀπογινώσκειν, ἀλλὰ τῇ τοῦ θεοῦ βουλήσει ἀνεπαχθῶς ἀγαπᾶν, καὶ πάντα τὰ ἐπερχόμενά σοι εἰς δόξαν τοῦ Ἰησοῦ Χριστοῦ ὑπομένειν· ὅτι τῷ χειμῶνι τὸ θέρος ἕπεται, μετὰ τὴν νύκτα ἡ ἡμέρα, καὶ μετὰ τὴν ζάλην μεγάλη εὐδία ἀναστέλλει.

## Κεφ: θ.

Περὶ τῆς ἀπορίας πάσης παραμυθίας.

α. Ὅτι μὲν χαλεπόν, τῆς ἀνθρωπίνης παραμυθίας καταφρονεῖν, παρούσης τῆς θείας· μέγα δέ, καὶ λίαν μέγα τῆς τ' ἀνθρωπίνης καὶ τῆς θείας παρακλήσεως ἀπορεῖν δύνασθαι, καὶ ὑπὲρ τῆς τοῦ θεοῦ δόξης τὸν ἐξορισμὸν τῆς καρδίας ἡδομένως βούλεσθαι ὑπομένειν, καὶ ἐν μηδενὶ ἑαυτοῦ ζητεῖν, μηδ' εἰς ἰδίαν ἀξίαν ἀποβλέπειν. τί μέγα ἐστίν, ἐὰν εὔθυμος καὶ εὐλαβὴς ᾖς, ἐπερχομένης τῆς χάριτος; αὕτη ἡ ὥρα πᾶσιν εὐκταία. ἅλις ἡδέως οὗτος ἱππεύει, ὅντε ἡ χάρις τοῦ θεοῦ βαστάζει. Καὶ τί θαυμαστόν, εἰ τοῦ φορτίου οὐκ αἰσθάνεται, ὃς ὑπὸ τοῦ παντοκράτορος βαστάζεται, καὶ ὑπὸ τοῦ ὑψίστου ἡγεμόνος ἄγεται;

β. Τῇ παραμυθίᾳ ἀσμένως χρώμεθα,

καὶ ὑφ' ἑαυτοῦ ὁ ἄνθρωπος χαλεπῶς ἐκλύεται·
ὁ ἅγιος Λαυρέντιος ὁ μάρτυς σὺν τῷ
ἱερεῖ αὐτοῦ, τοῦ κόσμου ἐκράτησεν· ὅτι
πᾶν τὸ ἐν τῷ κόσμῳ τερπνὸν δοκοῦν ὑπερ-
εῖδε, καὶ τὸν ἄκρον τοῦ θεοῦ ἀρχιερέα τὸν Σίξτον,
ὃν μάλιστα ἠγάπησε, διὰ τὴν χριστοφι-
λίαν, καὶ ἀφ' αὐτοῦ ἀπαιρεῖσθαι πρᾴως ὑπέ-
μεινε. τῇ οὖν ἀγάπῃ τοῦ κτιστοῦ, τὴν τοῦ ἀνθρώ-
που φιλίαν ἐνίκησε, καὶ τὴν τοῦ θεοῦ εὐδοκ-
ίαν τῆς ἀνθρωπίνης παραμυθίας προετί-
μησε· τοῦτον τὸν τρόπον καὶ σὺ ἀναγκαῖόν
τι, καὶ ἀγαπητόν τινα φίλον, διὰ τὴν θεο-
φιλίαν, καταλιπεῖν μάνθανε. μὴ δυ-
σχέραινε παρὰ τοῦ φίλου καταλειφθεὶς,
ἀλλὰ γίνωσκε, ὅτι ἡμᾶς πάντας χρὴ εἰς
τέλος ἀλλήλων χωρισθῆναι.

---

γ. Πολὺ καὶ διὰ μακροῦ ὁ ἄνθρωπος πρὸς
ἑαυτὸν ἀγωνίζεσθαι ὀφείλει, πρὸ τοῦ μαθεῖν
ἑαυτοῦ τελείως κρατῆσαι, καὶ πᾶσαν τὴν
διάθεσιν αὐτοῦ πρὸς τὸν θεὸν ἑλκῦσαι.
ὁ μὲν ἄνθρωπος ἑαυτῷ πεποιθὼς, ῥᾳ-
δίως εἰς τὰς ἀνθρωπίνας παρακλήσεις
ὀλισθεῖ. ὁ δὲ ἀληθῶς χριστόφιλος καὶ ἀκρι-
βῶς φιλάρετος ὢν οὐ διώκει τὰς παρα-
μυθίας, οὐδὲ τοιαύτας ἡδύτητας αἰ-

παθεῖν ὕστερον. εἰ γὰρ οὕτως ὀλίγον
πάθημα δύνῃ ἀνέχεσθαι, πῶς ταῖς αἰω-
νίοις τιμωρίαις ὑπομένειν καὶ ἀνέχεσθαι δυνή-
σῃ; εἰ γὰρ ὀλίγον πάθημα οὕτω δυσχερεῖ
ἀπεργάζεται, τί τότε ἡ γέεννα ποιήσει;
ἰδοὺ τῷ ὄντι οὐ δύνῃ δύο χαρὰς ἔχειν, τέρπε-
σθαι μὲν ἐνθάδε ἐν τῷ κόσμῳ, ὕστερον δὲ
τῷ Χριστῷ συμβασιλεύειν.

---

ζ. Εἰ μέχρι ταύτης τῆς ἡμέρας τῆς σήμερον ἀεὶ
ἐν τιμαῖς καὶ τέρψεσι διήγαγες, τί ὅλον
ὠφελήσειέ σε, τοῦ καιρίου θανάτου συμ-
βαίνοντός σοι; πάντα τοίνυν ματαιότης,
πλὴν τοῦ τὸν θεὸν φιλεῖν, καὶ αὐτῷ μόνῳ
δουλεύειν. ὁ γὰρ τὸν θεὸν ἐξ ὅλης καρδίας
ἀγαπῶν, οὔτε τὸν θάνατον, οὔτε τὴν τιμω-
ρίαν, οὔτε τὴν κρίσιν, οὔτε ᾅδην φοβεῖται·
ὅτι ἡ τελεία ἀγάπη, τὴν πρὸς τὸν θεὸν πρό-
σοδον ἀσφαλῆ καθίστησι. τὸν δὲ ταῖς ἁμαρ-
τίαις ἔτι ἡδόμενον, οὐ θαυμαστὸν τόν τε
θάνατον, καὶ τὴν κρίσιν δεδιέναι. καλὸν
δ' ἐστὶν εἰ μήπω ἡ ἀγάπη, τῆς κακίας σε
ἀποτρέπει, ἀλλ' ἅγε τῷ φόβῳ τῆς γεέν-
νης ἀπείργεσθαι. ὁ δὲ τὸν φόβον τοῦ θεοῦ
οὐ καταλείπων, πολὺν χρόνον ἑστάναι
οὐ δύναται, ἀλλ' εἰς τὰς τοῦ διαβόλου πα-
γίδας ταχέως ἐμπεσεῖται.

---

## Περὶ ζεστῆς ἐπανορθώσεως τοῦ βίου ἡμῶν.

Γίνου γρηγορῶν καὶ ἐπιμελὴς ἐν τῇ τοῦ θεοῦ δουλείᾳ, καὶ πολλάκις λογίζου τίνος ἕνεκεν ἦλθες, καὶ διὰ τί τὸν κόσμον κατέλειπες; οὐχὶ ἵνα τῷ θεῷ δουλεύσῃς, καὶ πνευματικὸς ἄνθρωπος γένῃ; διόπερ πρὸς τὸ προκόψαι ζέσον, ὅτι τὸν μισθὸν τῶν καμάτων σου ταχέως λήψῃ, καὶ τότε οὐκ ἔτι φόβος, οὔτ' ἄλγος ἔσται ἐν ὁρίοις σου. ὀλίγον νῦν πονήσεις, καὶ μεγάλην ἡσυχίαν, μᾶλλον δὲ αἰώνιον χαρὰν εὑρήσεις. εἰ σὺ πιστὸς καὶ θερμὸς ἐν τῷ πράττειν διατελέσεις, ὁ θεὸς ἀναμφισβητήτως ἐν τῷ ἀνταποδοῦναι πιστὸς καὶ ἀφειδὴς ἔσται. χρὴ μέν σε τὴν ἐλπίδα λαμβάνειν τοῦ ἄθλου τεύξεσθαι, ἀσφαλῶς δ' οὐκ ἔχειν, ἵνα μὴ ῥαθυμήσῃς, μήτε ἐπαρθῇς.

---

β. Πολυμέριμνός τις μεταξὺ τῆς ἐλπίδος καὶ τοῦ φόβου πολλάκις σαλευόμενος, καὶ λύπῃ ποτὲ ἰαπονούμενος, ἐν τῷ ἱερῷ ἐνώπιον τοῦ θυσιαστηρίου ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσευχόμενος, καὶ ταῦτα πρὸς ἑαυτὸν λογιζόμενος

εἶπεν. εἴθε ἐγίνωσκον ὅτι ἔτι ἐπιμε-
νῶ· καὶ εὐθέως τῆς θείας ἀποκρίσεως ἔσω-
θεν ἤκουσε. τί ἂν τοῦτο εἰδώς, ποιῆσαι ἤθε-
λες; ποίησον νῦν, ὅ,τι τότε ποιεῖν ἂν ἐβού-
λου, καὶ πάνυ ἀσφαλὴς ἔσῃ· καὶ παραχρῆμα πα-
ρακληθεὶς καὶ ἐνδυναμωθεὶς τῷ τοῦ θεοῦ θε-
λήματι ἑαυτοῦ ἐπέτρεψε, καὶ ἡ πολυμέρι-
μνος ἀπορία κατέπαυσε. καὶ οὐκ ἐβουλήθη
περιέργως τὰ συμβησόμενα ἑαυτῷ ἀ-
ναζητεῖν, μᾶλλον δὲ ἐξετάζειν ἐσπούδα-
σε, τί ἂν εἴη τὸ θέλημα τοῦ θεοῦ εὐάρε-
στον καὶ τέλειον, τοῦ πᾶν ἀγαθὸν ἔργον ἄρξα-
σθαι καὶ ἐπιτελέσαι.

---

γ. Ἔλπισον ἐπὶ κύριον, καὶ ποίει χρηστότητα,
εἶπεν ὁ προφήτης, καὶ κατασκήνου τὴν γῆν,
καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. ἕν ἐστι
τὸ πολλοὺς τῆς προκοπῆς, καὶ τῆς ἀκριβοῦς ἐπαν-
ορθώσεως ἀποτρέπον, ἡ δειλία τῆς χαλε-
πότητος, ἢ ὁ πόνος τοῦ ἀγῶνος. Ἀλλὰ μὴν
ἐκεῖνοι μάλιστα τῶν ἄλλων πρὸς τὰς ἀρετὰς
ἐπιδιδόασιν, οἵτινες τὰ δεινότερα, καὶ ἐναν-
τία αὐτοῖς ἀνδρειότερον νικῆσαι πειρῶν-
ται. ὁ γὰρ ἄνθρωπος μᾶλλον ἐκεῖ προκό-
πτει, καὶ μείζονος χάριτος ἄξιος τυγχάνει
ὅπου μᾶλλον ἑαυτὸν νικᾷ, καὶ ἐν τῷ πνεύ-
ματι νεκροῖ.

---

δ. Ἀλλ' οὐ πάντες ἐξ ἴσου πολλὰ ἔχουσιν,

βιβ: α. κεφ: κε. ςιγμὴ δ. ἀρχὴ τῶν ιζ. Μετ: ζ.

ἅτινα νικῶσιν ἢ νεκρῶσιν. Ὁ δ' ἐπιμελὴς ζηλωτὴς καίπερ περιπαθέστερος, δυνατώτερος ἔσται ἐπιδοῦναι τοῦ ἄλλου εὐήθους μὲν ὄντος, ἧττον δὲ πρὸς τὰς ἀρετὰς ζέοντος. Δύο εἰς μεγάλην ἐπανόρθωσιν ἰδίως συλλαμβάνουσιν· ἤγουν, τὸ ἑαυτοῦ βιαίως χωρίσαι τούτων εἰς ἃ ἡ φύσις κακῶς καταφέρεται, καὶ τὸ θερμῶς σπουδάζειν περὶ τοῦ ἀγαθοῦ, οὗτινος ἐνδεέστερός τις ὑπάρχει. Πρὸς ἔτι ταῦτα μᾶλλον εὐλαβεῖσθαι καὶ νικᾶν πειρᾶ, ἅπερ ἄλλοις ἐγγινόμενα συχνότερόν σοι ἀπαρέσκει.

---

ϛ. Μνήσθητι τῆς ποιηθείσης προαιρέσεώς σου, καὶ πρόθες σοι τὴν τοῦ σταυρωθέντος εἰκόνα. Εἰκότως ἂν αἰσχύνοιο τὸν βίον τοῦ Χριστοῦ ἐφορῶν, ὅτι μήπω αὐτῷ σε συμμορφῶσαι μᾶλλον ἐσπούδακας, κἂν πολὺν χρόνον ἐν τῇ τοῦ θεοῦ ὁδῷ ἐγένου. Ἀσκητὴς ὁ περὶ τὸν ἁγιώτατον βίον καὶ τὸ πάθος τοῦ κυρίου διατεταμένως καὶ εὐσεβῶς ἑαυτὸν γυμνάζων, πάντα χρήσιμα καὶ ἀναγκαῖα αὐτῷ ἀφθόνως ἐκεῖ εὑρήσει· καὶ οὐ δεῖται ἔξω τοῦ Ἰησοῦ βέλτιόν τι ζητεῖν. Ὄφελον ὁ Χριστὸς ὁ σταυρωθεὶς εἰς τὴν καρδίαν ἡμῶν ἤρχετο, ὡς ταχέως καὶ ἐξαιρέτως πεπαιδευθείημεν ἄν;

---

ε.

Πανταχόθεν τὴν ἐπίδοσίν σου λάμβανε
ὁποῖα βλέπων ἢ ἀκούων καλὰ παραδείγμα-
τα, παροξύνθητι μιμεῖσθαι αὐτά. σκόπει
δ' ἐπιμελῶς εἴ τι, δυνατὸν μὴ τὸ αὐτὸ
ποιήσαις, ἢ ποιήσας ποτὲ τάχιον ἐπανορθοῦν
σπούδαζε. ὥσπερ ὁ ὀφθαλμός σου ἄλλους σκο-
πεῖ, οὕτως ἀμοιβαδὸν ὑπὸ τῶν ἄλλων παρα-
τηρῇ. ὡς τερπνὸν καὶ ἡδύ ἐστιν ἰδεῖν θερ-
μούς, εὐσεβεῖς, τῷ ἤθει καὶ τῇ καρδίᾳ ὁμο-
ίους ἀλλήλους; ὡς λυπηρὸν καὶ δεινόν, ἀτάκτως
περιπατοῦντας ἐπιβλέπειν; ὡς βλαβερὸν τοῦ
κλήσεως αὐτοῦ σκοποῦ ἀμελεῖν, καὶ ἐπὶ τὰ ὑπ-
εραπέντα ἀποκλίνειν;

---

ζ. Ὁ μὲν θερμὸς ἀσκητής, πάντα προστε-
ταγμένα καλῶς δέχεται καὶ χωρεῖ. ὁ δ' ἀμε-
λὴς καὶ χλιαρὸς θλίψιν ἐπὶ θλίψιν ἔχει, κά-
πανταχόθεν στενοχωρεῖται, ὅτι τῆς παρα-
μυθίας τὴν ἔσω ἀπορεῖ, καὶ τὴν ἔξω ζητεῖν κω-
λύεται. ἀσκητὴς ὁ χωρὶς παιδείας ὤν, δει-
συμφορᾷ περιπίπτειν κινδυνεύει. Ὁ τὰ χα-
λαρότερα καὶ χαυνότερα ἐπιζητῶν, ἀεὶ θλι-
θήσεται, ὅτι ἄρτι μὲν τοῦτο, ἄρτι δ' ἐκεῖνο
ἀπαρέσει.

---

η. Πῶς πράττουσι τοσοῦτοι ἄλλοι ἀσκηταί, οἱ
τῇ παιδευούσῃ μοναχικῇ ἀκριβῶς κατακλε-
θέντες; σπανίως ἐξίασι, ἴδια διάγουσιν, ἐν
δὲ ἔσχατον διατελοῦνται, ὀλίγα λαλοῦσι;

βιβ: α'. κεφ: κε. στιγμὴ η'. αχπν. ιζ' Μετ: ζ

μακρὰν γενηθῶσι, πρωῒ ἐγείρονται, τὰς δεήσεις μηκύνουσι, πολλάκις ἀναγινώσκουσι, καὶ ἑαυτοὺς ἐν πάσῃ παιδείᾳ φυλάττουσιν. Ἐπιτήρει τοὺς Καρθουσιανοὺς, τοὺς Κιστερκιανοὺς, καὶ τοὺς διαφόρου ἀσκήσεως μοναχοὺς καὶ μοναστρίας· πῶς ἑκάστῃ νυκτὶ, τοῦ ψάλλειν τῷ κυρίῳ, ἐξεγείρονται. Καὶ διὰ τοῦτο αἰσχρὸν ἂν εἴη, ἐν τῷ οὕτως ἁγίῳ ἔργῳ σε κατοκνῆσαι, τοσούτου πλήθους τῶν ἀσκητῶν τοῦ θεοῦ ἀλαλάξαι ἀρχομένου.

θ'. Εἴθε οὐκ ἄλλο ποιεῖν ἔδει, εἰ μὴ τὸν κύριον τὸν θεὸν ἡμῶν ὅλῃ καρδίᾳ καὶ στόματι ἐπαινεῖν. εἴθ' οὔποτε χρείαν εἶχες τοῦ φαγεῖν, οὔτε τοῦ πιεῖν, οὔτε τοῦ καθεύδειν, ἀλλ' ἀεὶ οἷός τ' ἦς τὸν θεὸν αἰνεῖν, καὶ μόνον τοῖς τοῦ πνεύματος σπουδάζειν. τότε πολλῷ εὐτυχέστερος ἂν ἐγένου, ἢ νῦν τῇ σαρκὶ ἐξ ὁποιασοῦν ἀνάγκης δουλεύων. Ὄφελον οὐκ ἦσαν αὗται ἀνάγκαι, ἀλλὰ μόνον τῆς ψυχῆς ἀναλήψεις πνευματικαὶ, ὧν αἲ δὴ πάνυ σπανίως γευόμεθα.

ι'. Ἡνίκα ὁ ἄνθρωπος εἰς τοῦτο ἐλήλυθεν, ὥστε ἐκ μηδεμιᾶς κτίσεως παραμυθίαν αὐτοῦ ζητεῖν, τότε ὁ θεὸς αὐτῷ τελείως ἡδὺς γίνεται. τότε μήτε ἐπὶ τῷ μεγάλῳ χαρήσεται, μήτ' ἐπὶ τῷ σμικρῷ λυπηθήσεται, ἀλλὰ παντελῶς καὶ πεποιθότως ἑαυτὸν τῷ θεῷ ἐπιτρέψει, ὃς αὐτῷ τὰ πάντα ἐν πᾶσιν ἐστίν· ᾧτινι μὲν

μήπου μηδὲν ἀπόλλυται, μήτ' ἀποθνήσκει, πάντα δ' αὐτῷ ζῇ, καὶ εἰς νεῦμα εὐθέως δουλεύει.

---

ια. Μέμνησο ἀεὶ τοῦ τέλους, καὶ ὅτι ὁ χρόνος ἀπολωλὼς οὐκ ἀναστρέφει. Ἀμερίμνως καὶ ὀλιγώρως ἔχων οὐδέποτε τῆς ἀρετῆς ἐπιτεύξῃ. Εἰ ἄρχῃ χλιαίνεσθαι ἄρξῃ κακῶς ἔχειν. εἰ δ' περὶ τῆς θερμότητος σπουδάσεις, εὑρήσεις μεγάλην εἰρήνην, καὶ διὰ τὴν τοῦ θεοῦ χάριν, καὶ τὴν φιλαρετίαν, τὸν πόνον κουφότερον αἰσθήσῃ. Ἄνθρωπος θερμὸς καὶ ἐπιμελὴς, πρὸς πάντα πρόθυμος ὑπάρχει. μᾶλλον πόνος ἐστὶ ταῖς κακίαις καὶ τοῖς πάθεσιν ἀντιστατεῖν, ἢ τοῖς σωματικοῖς πόνοις ἐνδιατρίβειν. Ὃς τὰ μικρὰ ἐλλείμματα οὐκ εὐλαβεῖται, ἠρέμα εἰς τὰ μείζω καταρρέεται. Χαρήσῃ ἀεὶ τῆς ἑσπέρας γενομένης, εἰ τὴν ἡμέραν ὠφελίμως διατρίψεις. γρηγόρει ἐπὶ σεαυτοῦ, ἔγειρε σεαυτοῦ, παραίνει σεαυτοῦ, καὶ ὅτι ἂν τοῖς ἄλλοις γένηται, μὴ ἀμέλει αὑτοῦ. τοσοῦτον προκόψεις, ὅσον ἂν σεαυτὸν βιάσῃ. Ἀμήν.

---

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

### Κεφάλαιον α.

### Περὶ τῆς ἀναστροφῆς τῆς ἔσω.

α. Ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ἡμῶν ἐστι, λέγει ὁ κύριος. ἐπίστρεψον πρὸς τὸν κύριον ἐξ ὅλης καρδίας, καὶ κατάλειπε τοῦτον τὸν ταλαί-

βιβ: β. κεφ: α. σιγμὰ ά. ἀχπγ. ιζ Ματ: ζ.

πᾶσαν κόσμον, καὶ εὑρήσει ἡ ψυχή σου ἀνάπαυσιν. Μάνθανε τὰ ἔξω καταφρονῆσαι, καὶ τοῖς ἐντὸς σχολάσαι, καὶ ὄψει τὴν βασιλείαν τοῦ θεοῦ εἰς σὲ ἐρχομένην. ἡ γὰρ βασιλεία τοῦ θεοῦ ἐστὶν ἡ εἰρήνη, καὶ ἡ χαρὰ ἐν πνεύματι ἁγίῳ, ἥτις τοῖς ἀσεβέσιν οὐ δίδοται. ἐλεύσεται πρὸς σὲ ὁ Χριστὸς, δεικνύων σοι τὴν αὐτοῦ παράκλησιν, ἐὰν αὐτῷ ἀξίαν μονὴν ἐντὸς ἑτοιμάσῃς. πᾶσα γὰρ ἡ δόξα καὶ τὸ κάλλος αὐτοῦ ἔσωθέν ἐστι, καὶ ἐκεῖ εὐδοκεῖ. συχνὴ αὐτῷ ἐπίσκεψις σὺν ἐνδοτέρῳ ἀνθρώπῳ, ἡδὺς ὁμιλία, χαρίεσσα παράκλησις, πολλὴ εἰρήνη, οἰκειότης ἄγαν θαυμασία.

---

β. Ἄγε δὴ, ὦ πιστὴ ψυχὴ, ἑτοίμασον τούτῳ
ιη. α.
τῷ νυμφίῳ τὴν καρδίαν σου· ὅπως πρὸς σὲ ἐλθεῖν, καὶ ἐν σοὶ κατοικεῖν ἀξιώσῃ. οὕτω γὰρ λέγει· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Δὸς οὖν τόπον τῷ Χριστῷ, καὶ πᾶσιν τοῖς ἄλλοις τὴν εἴσοδον ἀνάνευσον. εἰ τὸν Χριστὸν ἔχεις, πλουτεῖς, καὶ ἀρκεῖ σοι. αὐτὸς γὰρ προνοητὴς καὶ πιστὸς ἐπιμελητής σου ἔσται, ὥστε μὴ ἐπανάγκες εἶναι ἐπὶ τοῖς ἀνθρώποις ἐλπίσαι. οἱ γὰρ ἄνθρωποι εὐθέως ἀλλάττονται, καὶ ταχέως ~~ἐκλείπουσιν~~

6

ἐκλείπουσιν· ὁ δὲ Χριστὸς εἰς αἰῶνα μένει,
ϗ μέχρι τέλους βεβαίως παρίσταται.

---

γ. Οὐ δεῖ πολλὴν ἐλπίδα ἔχειν ἐπ' ἄνθρωπον
ἀσθενῆ ϗ θανάσιμον, κἄνπερ χρήσιμον ϗ
ἀγαπητὸν ὄντα· οὐδὲ σφόδρα λυπεῖσθαι ἐπὶ
τῷ αὐτόν ποτε ἐναντιοῦσθαι ϗ ἀντιλέγειν ἡμῖ
οἱ σήμερον μετά σου γινόμενοι, αὔριον ἀν-
τιτάττεσθαι δύνανται, ϗ ἐξ ἐναντίας, πολλά-
κις ὡς αὔρα στρέφονται. ὅλην τὴν ἐλπίδα
σου θὲς ἐν τῷ θεῷ, ϗ αὐτοῦ ὁ φόβος ϗ ὁ ἔρως
σου ἔστω· αὐτὸς ὑπέρ σου ἀπολογήσεται, ϗ ποι-
ήσει, καθὼς ἂν βέλτιον ᾖ. Οὐκ ἔχεις ὧδε
μένουσαν πόλιν, ϗ ὅπου ἂν ᾖς ἀλλοδαπὸς ϗ
ϗ ξένος εἶ· ϗ οὐδέποτε ἡσυχίαν ἕξεις, ἐὰν
μὴ τῷ Χριστῷ ἐνδότατον ἑνωθῇς.

---

δ. Τί ἐνταῦθα περιβλέπεις, τούτου τόπου
τῆς ἀναπαύσεώς σου οὐκ ὄντος; ἐν τοῖς οὐρανί-
οις δεῖ τὴν οἴκησίν σου εἶναι, ϗ ὡς ἐν παρόδῳ
πάντα ἐπίγεια ἐπιβλέπειν. πάντα παρέρ-
χεται, ϗ σὺ ἅμα μετ' αὐτῶν· πρόσεχε μὴ
προσκολλᾶσθαι, ἵνα μὴ ἁλοὺς ἀπόλῃ. Ἡ διάνοι-
ά σου παρὰ τῷ ὑψίστῳ ᾖ, ϗ ἡ δέησίς σου πρὸ
τὸν Χριστὸν ἀδιαλείπτως κατευθύνηται. εἰ οὐ
δύνῃ τὰ ὑψηλὰ ϗ τὰ οὐράνια θεωρεῖν, ἐν τῷ
τοῦ Χριστοῦ πάθει ἀναπαύου, ϗ ἐν τοῖς ἁγίοις τραύ-
μασιν αὐτοῦ ἀσμένως κατοίκει. ἐὰν γὰρ
εἰς τὰ τραύματα ϗ πολυτελῆ στίγματα

βιβ: β. κεφ: α. στιγμὴ δ'. αχπγ. ιη Μετ: α.
τοῦ Ἰησοῦ θροσερμὸς καταφύγῃ, μέγαν κρατυσμὸν ἐν τῇ θλίψει αἰσθήσῃ, καὶ οὐδέν σοι μελήσει τῶν ἀνθρώπων καταφρονήσεως, καὶ τὰς καταλαλιὰς ῥᾳδίως καρτερήσεις.

---

ε. **Καὶ** ὁ Χριστὸς τῷ κόσμῳ ὑπὸ τῶν ἀνθρώπων κατεφρονήθη, καὶ ἐν μεγίστῃ ἀνάγκῃ ὑπὸ τῶν γνωστῶν τε καὶ φίλων ὀνειδισθεὶς, κατελείφθη. Ὁ Χριστὸς παθεῖν καὶ καταφρονηθῆναι ἠθέλησε, καὶ σὺ περὶ πράγματός τινος μέμφεσθαι τολμᾷς; Ὁ Χριστὸς ἐναντίους καὶ καταλάλους εἶχε, καὶ σὺ πᾶσι φίλους καὶ εὐεργέταις χρῆσθαι βούλει; Ὅθεν ἡ ὑπομονή σου στεφανωθήσεται, εἰ μὴ ἐναντίον τι συμβήσεται; εἰ μηδὲν ἐναντίον πάσχειν ἐθέλεις, πῶς φίλος τοῦ Χριστοῦ ἔσῃ; ἀνέχου σὺν Χριστῷ, καὶ ὑπὲρ Χριστοῦ, εἰ Χριστῷ συμβασιλεύειν βούλει.

---

ιθ. β.

5. **Εἰ** ἅπαξ τελείως εἰσῆλθες εἰς τὰ ἐνδότερα τοῦ Ἰησοῦ, καὶ μικρόν τι περὶ τῆς περιχαροῦς ἀγάπης αὐτοῦ ᾔσθου, τότε τῆς ἰδίας ὠφελείας, ἢ τῆς βλάβης οὐδὲν ἂν ἐφρόντιζες, μᾶλλον δὲ τῷ γενομένῳ ὀνείδει ἔχαιρες· ὅτι ἡ τοῦ Χριστοῦ ἀγάπη, τὸν ἄνθρωπον καταφρονεῖν ἑαυτοῦ κατεργάζεται. Ὁ φιλητὴς τοῦ Ἰησοῦ καὶ τῆς ἀληθείας, καὶ ὁ περὶ τὰ ἔσω ὄντως σπουδάζων,

καὶ τῶν ἀτάκτων παθῶν ἐλεύθερος ὑπάρχων,
πρὸς τὸν θεὸν ἐλευθέρως ἐπιστρέφειν, καὶ ἐν
τῷ πνεύματι ἑαυτοῦ αἴρειν, καὶ ἀπολαυστικῶς
ἀναπαύεσθαι δύναται.

ζ. Ὁ πάντα γινώσκων καθὼς εἰσίν, ἀλλ' οὐ κα-
θὼς λέγονται ἢ δοκοῦσιν, ἀληθῶς σοφός, καὶ
μᾶλλον ὑπὸ τοῦ θεοῦ, ἢ ὑπὸ τῶν ἀνθρώπων π-
παιδευμένος ἐστίν. Ὁ ἔσωθεν περιπατῶν
καὶ ὀλίγου τὰ ἔξω τιμᾶν ἐπιστάμενος, οὐ τόπου
αἰτεῖ, οὐδὲ χρόνους προσδοκᾷ τοῦ ἔχειν τὰς εὐ-
σεβεῖς ἀσκήσεις. Ὁ ἄνθρωπος ὁ τοῖς ἔσω
προσκείμενος, ἐν τάχει αὐτοῦ συλλέγει, ὅτι
μηδέποτε εἰς τὰ ἔξω ἑαυτοῦ ἐκχέει. οὐ βλά-
πτει αὐτοῦ ὁ πόνος ὁ ἔξω, ἡ ἀσχολία ἐπὶ χρόνῳ
ἀναγκαία οὖσα, ἀλλὰ τοῖς πράγμασι, καθ-
συμβαίνει, αὐτοῦ προσαρμόττει. Ὁ ἐντὸς κα-
λῶς διακείμενος καὶ τεταγμένος, τῶν θαυ-
μασίων καὶ πονηρῶν ἠθῶν τῶν ἀνθρώπων οὐ-
δὲν φροντίζει. τόσον ἕκαστος ἐμποδίζεται
καὶ διασπᾶται ὅσον αὐτῷ τὰ πράγματα ἐπι-
σπᾷ.

η. Εἰ καλῶς ἔχοις, καὶ εὖ καθαρισθείης, πάντα
καλῶς καὶ ὠφελίμως σοι ἂν προχωρεῖ. διὰ
τοῦτο πολλά σοι ἀπαρέσκει, καὶ πολλάκις σε
συνταράττει, ὅτι οὔπω σοι ὅλως ἀπέθανες,
οὐδὲ πάντων ἐπιγείων ἐχωρίσθης. Μηδὲ
οὕτω τὴν τοῦ ἀνθρώπου καρδίαν ῥυπαίνει

βιβ. β. κεφ. α. στιγμὴ η. α. χπγ. ιθ Ματ: β.
καὶ ἐμπλέκει, ὡς ἡ τῶν κτίσεων ἀκάθαρτος ἀ-
γάπη. Εἰ οὖν βούλει ἔξω παρακληθῆναι, τὰ ἐ-
πουράνια θεωρεῖν καὶ θαμινὰ ἐν τοῖς ἀλαλάξ-
ασθε λυπήσῃ.

---

## Κεφ: β.

### Περὶ τῆς ταπεινῆς ὑποταγῆς.

α. Μὴ σφόδρα μέλῃ σοι, τίς ἂν ὑπὲρ σοῦ, ἢ κατὰ σοῦ ᾖ. περὶ τούτου ἐπιμελοῦ καὶ φρόντιζε, ὅπως ὁ θεὸς μετὰ σοῦ ᾖ ἐν παντὶ πράγματι ὃ πράττεις. καλὴν συνείδησιν ἔχε, καὶ ὁ θεὸς ὑπερασπίσει σου. ᾧτινι γὰρ ὁ θεὸς βοηθεῖν ἂν βουληθῇ, τοῦτον μηδενὸς κακία βλάπτειν δυνήσεται. εἰ σὺ σιωπᾶν καὶ πάσχειν ἐπίστασαι, ἀναμφισβητήτως ὄψει τὴν τοῦ κυρίου ἐπικουρίαν. αὐτὸς τόν τε χρόνον καὶ τὸν τρόπον τοῦ ῥύσασθαί σε γινώσκει, διὸ καὶ αὐτῷ σε ἐπιτρέπειν ὀφείλεις. τοῦ θεοῦ ἐστι τὸ βοηθῆσαι, καὶ πάσης αἰσχύνης ἀπαλλάξαι. πολλάκις πρὸς τὸ μείζω ταπεινότητα τηρῆσαι ὠφέλιμόν ἐστι, τοὺς ἄλλους τὰ ~~ἡμα~~ ἐλλείμματα ἡμῶν εἰδέναι καὶ ἐλέγχειν.

---

β. Ἐὰν ὁ ἄνθρωπος διὰ τὰ ἐλλείμματα ἑαυτοῦ ταπεινώσῃ ἑαυτόν, τότε ῥᾳδίως ἄλλους πραΰνει, καὶ εὐχερῶς τοὺς ὀργιζομένους κατηπιᾷ· τὸν ταπεινὸν ὁ θεὸς διαφυλάττει

καὶ ῥύεται. τὸν ταπεινὸν ἀγαπᾷ καὶ παρακα-
λεῖ· πρὸς τὸν ταπεινὸν ἐγκλίνει ἑαυτόν· τῷ
ταπεινῷ χάριν μεγάλην δωρεῖται, καὶ με-
τὰ τὴν ταπείνωσιν αὐτοῦ εἰς τὴν δόξαν ὑ-
ψοῖ· τῷ ταπεινῷ τὰ μυστήρια αὐτοῦ ἀπο-
καλύπτει, καὶ πρὸς ἑαυτὸν ἡδέως ἑλκύει καὶ
καλεῖ. ὁ ταπεινὸς καταισχυνθεὶς καλῶς εἰ-
ρηνεύει, ὅτι ἐν τῷ θεῷ, καὶ οὐκ ἐν τῷ κόσμῳ
ἵσταται. μὴ νόμιζέ σε ἐπιδοῦναί τι, ἐὰν
μὴ πάντων σε ἐλάττω εἶναι λογίσῃ·

---

## Κεφ: γ.

**Περὶ τοῦ καλοῦ, καὶ εἰρηνοποιοῦ ἀνθρώπου.**

α. Πρῶτον αὐτὸς εἰρήνευε, καὶ τότε τοὺς
ἄλλους εἰρηνοποιῆσαι δυνήσῃ. Ἄνθρωπος
ὁ εἰρηνοποιὸς πεπαιδευμένου ὠφελιμώ-
τερός ἐστιν. ὁ ἐμπαθὴς ἄνθρωπος, καὶ
τὸ ἀγαθὸν εἰς τὸ κακὸν ἑλκύζει, καὶ ῥᾳ-
δίως τὸ κακὸν πιστεύει. ὁ καλὸς καὶ εἰρη-
νοποιὸς ἄνθρωπος πάντα εἰς καλὸν με-
ταστρέφει. ὁ μὲν καλῶς εἰρηνεύων μη-
δένα ὑποπτεύει· ὁ δ' οὐκ ἀναπήτως ἔχων
καὶ διαταραχθεὶς, παντοίαις ὑποψίαις σα-
λεύεται, αὐτὸς οὐχ ἡσυχάζων, οὐδ' ἄλλους
ἡσυχάζειν ἐῶν. πολλάκις λέγει, ὅ,τι οὐκ
ἂν ἔδει λέγεσθαι, καὶ ὅ,τι πραττόμενον, μᾶλ-
λον αὐτῷ συνέφερε, παραλείπει. λογίζε-
ται τοῖς ἄλλοις ποιητέον, καὶ τῶν δεόντων

βιβ: β. κεφ: ν. στιγμὴ α. αχπγ. ιθ Μαρτ: β.
πράττειν ἀμαρτάνει. πρῶτον οὖν ζήλωσον σεαυ-
τῷ, καὶ τότε δικαίως τῷ πλησίον ζηλῶσαι
δυνήσῃ.

---

β. Γινώσκεις μὲν ὑπὲρ τῶν πράξεών σου
καλῶς ἀπολογεῖσθαι, καὶ προφασίζεσθαι, τὰς δὲ
τῶν ἄλλων ἀπολογίας ἀποδέχεσθαι οὐκ ἐθέλεις.
δικαιότερον ἂν ἐγίνετο, εἰ κατηγόρεις σοῦ,
καὶ τῷ ἀδελφῷ σου συνηγόρεις. ἐὰν βουλη-
θῇς βαστάζεσθαι, καὶ βάσταζον ἄλλον. ὅρα πῶς
ἔτι πόῤῥω γίνῃ τῆς ἀληθοῦς ἀγάπης καὶ ταπει-
νότητος, τὸ μηδενὶ ὀργίζεσθαι, ἢ χαλεπαίν-
ειν, εἰ μὴ ἑαυτῇ ἐπισταμένης. οὐ μέγα τι
τοῖς ἀγαθοῖς καὶ πράοις ὁμιλεῖν, τοῦτο γὰρ
πᾶσι φυσικῶς ἀρέσκει, καὶ ἕκαστος ἀσμέ-
νως εἰρηνεύει, καὶ τοὺς ὁμογνωμονοῦντας
ἀγαπᾷ. τοῖς δὲ σκληροῖς καὶ διεστραμμέ-
νοις, ἢ ἀκολάστοις, ἢ ἡμῖν ἐναντιουμένοις
εἰρηνικῶς συνδιάγειν δύνασθαι, μεγάλη
χάρις, καὶ πάνυ ἐπαινετὸν καὶ ἀνδρῶδες ἔρ-
γον ἐστίν.

---

γ. Εἰσί τινες οἱ περὶ ἑαυτοὺς εἰρηνεύουσι,
καὶ πρὸς ἄλλους εἰρήνην ἄγουσιν. ἔτι δὲ εἰσὶν
οἱ οὐκ εἰρηνεύουσιν, οὐδὲ τοῖς ἄλλοις τὴν εἰρ-
ήνην συγχωροῦσιν. ἄλλοις μὲν δεινοί, ἑ-
αυτοῖς δὲ ἀεὶ δεινότεροί εἰσι. καὶ εἰσιν, οἱ
τὴν ἰδίαν εἰρήνην τηροῦσι, καὶ τοὺς ἄλλους δι-
αλλάττειν σπουδάζουσιν. ὅλη μέντοι εἰρ-

ρήνη ἡμῶν ἡ ἐν τῷδε τῷ ταλαιπώρῳ
βίῳ. μᾶλλόν ἐστιν ἐν τῷ ταπεινῶς ἀνέχ-
εσθαι, ἢ ἐν τῷ μὴ πάσχειν. ὁ βέλτιον γινώ-
σκων παθεῖν, μείζω εἰρήνην ἕξει. οὗτος
ἑαυτοῦ κρατεῖ, καὶ τοῦ κόσμου κυριεύει, Χριστοῦ
φίλος, καὶ κληρονόμος τοῦ οὐρανοῦ τυγχάνων.

---

Κεφ: δ.

Περὶ τῆς καθαρᾶς διανοίας καὶ ἁπλῆς προ-
αιρέσεως.

α. Δυσὶ πτέρυξιν ὁ ἄνθρωπος ἀπὸ τῶν ἐπι-
γείων ἀναίρεται, τῇ δήπου ἁπλότητι, καὶ τῇ
καθαρότητι. καὶ τὴν μὲν ἁπλότητα τῇ προ-
αιρέσει, τὴν δὲ καθαρότητα τῇ διαθέσει
χρὴ ἐνεῖναι. ἡ ἁπλότης τὸν θεὸν προτίθεται
ἡ καθαρότης τοῦ αὐτοῦ ἐπιλαμβάνεται καὶ
γεύεται. εἰ ἔσω ἐλεύθερος τῆς ἀτάκτου δι-
αθέσεως ἔσῃ, οὐδεμία σε πρᾶξις ἐμπο-
δίσει. εἰ μηδὲν ἄλλο, ἢ τὴν τοῦ θεοῦ εὐδο-
κίαν, καὶ τὴν τοῦ πλησίον ὠφέλειαν προ-
τίθεσαι καὶ ζητεῖς, τῆς ἐντὸς ἐλευθερίας
ἀπολαύσεις. εἰ ἡ καρδία σου ὀρθὴ ἦν, τό-
τε πᾶσα κτίσις κάτοπτρον τῆς ζωῆς, καὶ βι-
βλίον τῆς ἁγίας διδαχῆς ἂν ἐγίνετο. οὐκ
ἔστι κτίσις οὕτω μικρὰ καὶ εὐτελής, ἥτις
τὴν τοῦ θεοῦ ἀγαθότητα οὐκ ἂν ὑποτυπώ-
σῃ.

---

β. Εἰ σὺ ἔνδον ἦς ἀγαθὸς καὶ καθαρός, τό-
τε πάντα ἀνεμποδίστως ἂν ἔβλεπες,

καὶ καλῶς ἐχώρισας. καρδία καθαρὰ, τὸν οὐρανὸν καὶ τὸν ᾅδην διέρχεται. Ὁποῖός τις ἕκαστος ἐντὸς ἐστι, τοιούτως καὶ ἐκτὸς κρίνει. ἐὰν τῷ κόσμῳ χαρὰ γίνεται, ταύτην δήπου ὁ ἄνθρωπος τῇ καρδίᾳ καθαρὸς κτᾶται· καὶ εἰ ἐνιαχοῦ θλίψις καὶ στενοχωρία ἐστι, τοῦτο ἡ κακὴ συνείδησις ἀκριβῶς γινώσκει. ὥσπερ ὁ σίδηρος εἰς τὸ πῦρ βληθεὶς ἀποβάλλει τὸν ἰὸν, καὶ ὅλος διαπυροῦται· οὕτως ὁ ἄνθρωπος πρὸς τὸν θεὸν παντελῶς ἐπιστρεφόμενος τῆς χλιαρότητος ἀπαλλάττεται, καὶ εἰς καινὸν ἄνθρωπον μεταμορφοῦται.

---

γ. Ὅτε ὁ ἄνθρωπος χλιαίνεσθαι ἄρχεται, τότε μικρὸν πόνον φοβεῖται καὶ παραμυθίαν τὴν ἔξω λαμβάνων χαίρει· ἡνίκα δὲ τελείως ἑαυτοῦ κρατεῖν, καὶ ἐν τῇ τοῦ θεοῦ ὁδῷ ἀνδρειωδῶς πορεύεσθαι ἐπιχειρεῖ, τότε ὀλίγον φροντίζει τούτων, ἅτινα πρότερον αὐτῷ δεινὰ ἐδόκει.

---

## Κεφ: ε.

### Περὶ τῆς ἰδίας σκοπήσεως.

α. Ἡμῖν αὐτοῖς ἄγαν πιστεύειν οὐ δυνάμεθα, ὅτι τῆς χάριτος καὶ τοῦ νοῦ πολλάκις ἀποροῦμεν. μικρὸν φῶς ἐν ἡμῖν ἐστι, καὶ τοῦτο ταχέως διὰ ἀμέλειαν ἀποστερούμεθα.

Ἔτι δὲ πολλάκις οὐκ αἰσθανόμεθα, ὅτι οὕτω τυφλοὶ ἐντός ἐσμεν. πολλάκις δὲ κάκα πράττομεν, καὶ περὶ αὐτῶν χεῖρον ἀπολογούμεθα. τὰ μικρὰ τοῖς ἄλλοις. τῷ πάθει ἐνίοτε ἐπαγόμεθα, καὶ ζῆλον εἶναι ἡγούμεθα. ἐπιτιμῶμεν, καὶ τὰ μεγάλα ἡμῶν πάρεσμεν. παραυτίκα μὲν αἰσθανόμεθα καὶ σκοποῦμεθα, τί ὑπ' ἄλλων κακοπαθοῦμεν. ὅσον δ' ἄλλοι παρ' ἡμῶν ἀνέχονται, οὐκ ἐννοοῦμεν. ὃς καλῶς καὶ ὀρθῶς τὰ αὐτοῦ ἐσκοπεῖτο, οὐκ εἰκότως ἂν περὶ τοῦ ἄλλου δεινῶς ἔκρινεν.

β. Ὁ ἔσω ἄνθρωπος τὴν ἑαυτοῦ ἐπιμέλειαν πασῶν φροντίδων προαιρεῖται. καὶ ὁ αὐτῷ τὸν νοῦν ἀκριβῶς προσέχων, ῥᾳδίως περὶ τῶν ἄλλων σιωπᾷ. οὐδέποτε πνευματικὸς καὶ εὐλαβὴς ἄνθρωπος ἔσῃ, εἰ μὴ περὶ τῶν ἀλλοτρίων σιγήσεις, πρὸς σεαυτὸν ἰδίως ἀποβλέπων. εἰ τὴν γνώμην σεαυτῷ καὶ τῷ θεῷ παντάπασιν ἐπέχεις, μικρόν σε κινήσει, ὅπερ ἔξω αἰσθάνῃ. ποῦ εἶ, σεαυτῷ οὐ παρὼν; καὶ πάντα διαδραμών, τί ὠφελήθης, σοῦ ἀμελήσας; εἰ χρή σε εἰρήνην καὶ ἀληθινὴν ἕνωσιν κτήσασθαι, ἀναγκαῖόν ἐστι πάντων σε ὀλιγωροῦντα σεαυτὸν μόνον πρὸ ὀφθαλμῶν ἔχειν

Βιβ: β. κεφ: ε. στιγμὴ γ. αχπγ. κὰ Ματ: δ.

γ. Πολὺ τοίνυν ἐπιδώσεις, σεαυτὸν πάσης φροντίδος προσκαίρου ἀπαλλαγέντα διαφυλάττων. πολὺ δὲ ἐλλείψεις, πρόσκαιρόν τι σκεπτόμενος. μηδὲν μέγα, μηδὲν ὑψηλόν, μηδὲν εὐάρεστον, μηδὲν πρόσδεκτόν σοι γένοιτο, εἰ μὴ εἰλικρινῶς ὁ θεός, ἢ τὸ τοῦ θεοῦ. πᾶν μάταιον νόμιζε, ὅτιοῦν τῆς παραμυθίας περί τινος κτίσεως προσδέχεται. ἡ ψυχὴ ἡ θεόφιλος ἔσω πάντων τῶν ὑπὸ τοῦ θεοῦ ὄντων καταφρονεῖ. μόνος ὁ θεὸς αἰώνιος καὶ ἀμέτρητος, συμπληρῶν πάντα, τῆς ψυχῆς παράκλησις, καὶ τῆς καρδίας ἀληθὴς εὐφροσύνη ἐστί.

---

## Κεφ: ς.

**Περὶ τῆς εὐφροσύνης τῆς ἀγαθῆς συνειδήσεως.**

α. Ἡ τοῦ καλοῦ ἀνθρώπου καύχησις, τὸ μαρτύριον τῆς ἀγαθῆς συνειδήσεως ὑπάρχει. ἔχε ἀγαθὴν συνείδησιν, καὶ εὐφροσύνην ἀεὶ ἕξεις. ἡ ἀγαθὴ συνείδησις πλεῖστα καρτερεῖν δύναται, καὶ μεταξὺ τῶν ἐναντίων πάνυ χαίρει. ἡ κακὴ συνείδησις πάντοτε ἐπιδεὴς καὶ ἀνήσυχός ἐστιν. ἡδέως ἀναπαύσῃ, ἐὰν ἡ καρδία σου μὴ καταγινώσκῃ σου. μὴ χαῖρε, εἰ μὴ ἀγαθοποιήσας. οἱ κακοὶ οὐδέποτε τὴν ἀληθινὴν εὐφροσύνην ἔχουσιν, οὐδὲ τῆς εἰρήνης τῆς ἐντὸς

αἰσθάνονται· ὅτι οὐκ ἔστι σελήνη τοῖς ἀστέ-
ρεσι, λέγεται δηλώσως. Καὶ ὅταν λέγωσιν, ἐν
σελήνη ἐσμέν, οὐχ ἥξει κακὰ ἐφ' ἡμᾶς· καὶ τίς
ἡμᾶς βλάπτειν τολμήσει; μὴ πιστευέτωσαν αὐ-
τοῖς, ὅτι ἐξαίφνης ἀναστήσεται ἡ ὀργὴ τοῦ θεοῦ
καὶ πράξεις αὐτῶν ἐξουδενωθήσονται, καὶ ἀπο-
λοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.

---

β. Ἐν τῇ θλίψει καυχᾶσθαι τῷ ἀγαπῶντι οὐ
χαλεπόν ἐστιν. οὕτω γὰρ καυχᾶσθαι, καυχᾶσθαι
ἐστιν ἐν τῷ τοῦ κυρίου σταυρῷ. ἡ δόξα ἡ ὑπὸ τῶν
ἀνθρώπων διδομένη καὶ λαμβανομένη, ὀλι-
γοχρόνιός ἐστι. τῇ τοῦ κόσμου δόξῃ ἡ λύπη ἀεὶ
ἕπεται. ἡ τῶν ἀγαθῶν δόξα ἐν τῇ συνειδήσει
αὐτῶν, καὶ οὐκ ἐν τῷ στόματι ἀνθρώπων ἐστίν.
ἡ εὐφροσύνη τῶν δικαίων περὶ τοῦ θεοῦ, καὶ ἐν
τῷ θεῷ, καὶ χαρὰ αὐτῶν ἐκ τῆς ἀληθείας γίνεται.
ὁ τῆς ἀληθινῆς καὶ αἰωνίου δόξης ἐπιθυμῶν,
τῆς προσκαίρου οὐ φροντίζει. καὶ ὁ τὴν πρόσκαι-
ρον δόξαν ζητῶν, ἢ ἐκ τῆς καρδίας οὐ κατα-
φρονῶν αὐτῆς, δῆλός ἐστι, τὴν οὐράνιον ἧττο[ν]
ἀγαπῶν. μεγάλην ἐνθυμίαν τῆς καρδίας
ἔχει, ᾧτινι μηδὲ τῶν ἐπαίνων, μηδὲ τῶν μέμ-
ψεων μέλει.

---

γ. Ῥᾳδίως ἀναπαύσει καὶ εὐφρανθήσει οὗτινος
ἡ συνείδησις καθαρά ἐστιν. οὐχ ἁγιώτερος
εἶ αἰνούμενος, οὐδ' εὐτελέστερος, ψεγόμε-
νος· ὅπερ εἶ, τοῦτο εἶ, καὶ οὐ δύνῃ μείζων λέ-

γεσθαι, ἢ, τοῦ θεοῦ μαρτυροῦντος ὑπάρχεις. εἰ
σκοπεῖς, τί ἂν πρὸς σεαυτοῦ ἐντὸς γίνῃ, οὐ φρον-
τίσεις, τί περὶ σοῦ οἱ ἄνθρωποι λαλοῦσιν
ἐκτός. ὁ μὲν ἄνθρωπος ὄπτεται εἰς πρό-
σωπον, ὁ δὲ θεὸς ὄπτεται εἰς καρδίαν. ὁ
ἄνθρωπος τὰς πράξεις σκέπτεται, ὁ δὲ θεὸς
τὰς προαιρέσεις ἐξετάζει. καλῶς μὲν ἀεὶ
πράττειν, καὶ περὶ ὀλίγου ἑαυτὸν ἡγεῖσθαι, ψυ-
χῆς ταπεινῆς τεκμήριόν ἐστι. οὐ θέλειν
ὑπὸ κτίσεώς τινος παρακληθῆναι, μεγά-
λης καθαρότητος καὶ πεποιθήσεως τῆς ἔνδον
σημεῖόν ἐστιν.

---

δ. Ὁ μηδεμίαν μαρτυρίαν ἔξωθεν ζητῶν,
φανερός ἐστιν ἑαυτὸν τῷ θεῷ παντελῶς ἐπι-
τρέψας. οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν ἐκεῖνός ἐστι
δόκιμος (φησὶν ὁ μακάριος Παῦλος) ἀλ-
λ᾽ ὃν ὁ θεὸς συνίστησιν. συμπορεύεσθαι
τῷ θεῷ ἐντός, καὶ μηδενὶ πάθει κρατεῖσθαι
ἐκτός, ἀνθρώπου τοῦ ἔσω κατάστασίς ἐστι.

---

## Κεφ: ζ.

Περὶ τῆς τοῦ Ἰησοῦ ἀγάπης τῆς ὑπὲρ πάντα.

Μακάριος ὁ συνιῶν, τί ἂν ἦ τὸ φιλῆσαι τὸν
Ἰησοῦν, καὶ καταφρονῆσαι αὑτοῦ διὰ τὸν Ἰησοῦν.
τὸν ἀγαπητὸν διὰ τὸν ἀγαπητὸν δεῖ κατα-
λιπεῖν, ὅτι ὁ Ἰησοῦς μόνος ὑπὲρ πάντα
ἀγαπᾶσθαι ἐθέλει. ἡ μὲν τῆς κτίσεως ἀ-
γάπη ἀπατητική, καὶ ἄστατος, ἡ δὲ τοῦ Ἰησοῦ

ἀγάπῃ πιστῇ καὶ βεβαία. Ὁ τῇ κτίσει κολ-
λώμενος, τῇ πτωσίμῳ συμπεσεῖται.
ὁ δὲ Ἰησοῦν περιβάλλων, στερεωθήσεται
εἰς αἰῶνα. αὐτὸν ἀγάπα, καὶ φίλον σοι συν-
τήρει, ὃς πάντων ἀπερχομένων, οὐ κατα-
λείψει σε, καὶ εἰς τέλος ἀπολέσθαι οὐκ ἐάσει.
ἑκόντι καὶ ἄκοντι χρὴ πάντων σέ ποτε
χωρισθῆναι.

---

β. Τῷ Ἰησοῦ ζῶν τε καὶ θνήσκων παράμενε
καὶ τῇ αὐτοῦ πιστότητί σε ἐπίτρεπε, ὃς πάντων
ἐκλειπόντων μόνος σοι βοηθῆσαι οἷός τε
γίνεται. ὁ ἀγαπητός σου οὕτω πέφυκεν,
ὥστε τὸ ἀλλότριον ἐμιέναι οὐ βούλεται.
μόνος δὲ τὴν καρδίαν σου κτήσασθαι, καὶ
ὥσπερ βασιλεὺς ἐν τῷ ἰδίῳ θρόνῳ
καθίσαι ἐπιθυμεῖ. Εἰ ἐγίνωσκες σεαυ-
τὸν ἀπὸ πάσης κτίσεως κενῶσαι, ὁ Ἰησοῦς
ἀσμένως ἂν μετὰ σοῦ ᾤκει. σχεδὸν εὑ-
ρήσεις ὅλον ἀπολωλός, ὅτι οὖν ἂν ἔξω τοῦ
Ἰησοῦ ἐν τοῖς ἀνθρώποις θῇς. μὴ πέποι-
θε, μηδ' ἐπερείδου τῷ καλάμῳ ὑπ' ἀνέ-
μου σαλευομένῳ, ὅτι πᾶσα σὰρξ χόρ-
τος καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος
χόρτου ἐκπεσεῖται.

---

γ. Ταχέως ἀπατηθήσῃ τὸ τῶν ἀνθρώπων
πρόσωπον τὸ ἔξω μόνον σκεπτόμενος.
εἰ γὰρ ἐν τοῖς ἄλλοις τὴν παραμυθί-
αν καὶ τὸ κέρδος σου ζητεῖς, πολλάκις

βιβ: β. κεφ: ζ. στιγμὴ γ. α χπ γ. κα Μετ. δι-
ζημιωθήσῃ. εἰ ζητεῖς ἐν πᾶσι τὸν Ἰησοῦν,
τὸν Ἰησοῦν δήπου εὑρήσεις. εἰ δὲ σεαυτὸν
ζητεῖς καὶ σεαυτὸν εὑρήσεις, ἀλλ' εἰς τὴν
ἀπώλειάν σου. ὁ γὰρ ἄνθρωπος τὸν
Ἰησοῦν οὐ ζητῶν, μᾶλλον ἑαυτὸν βλά-
πτει, ἢ ὅλος ὁ κόσμος, καὶ πάντες οἱ ἀν-
τίδικοι αὐτοῦ.

---

## Κεφ: η.

### Περὶ τῆς οἰκείας φιλίας τοῦ Ἰησοῦ.

κβ. ε.

α. Τοῦ Ἰησοῦ παραγινομένου πᾶν ἀγαθὸν ὑ-
πάρχει, καὶ οὐδὲν χαλεπὸν δοκεῖ. ἀπόντος δὲ
τοῦ Ἰησοῦ, πᾶν σκληρὸν γίνεται. τοῦ Ἰησοῦ
ἔσω οὐ λαλοῦντος, πᾶσα παραμυθία εὐτε-
λής ἐστι. τοῦ δὲ Ἰησοῦ ἓν μόνον ῥῆμα ἔνδον
λαλοῦντος, μεγάλης παρακλήσεως αἰσθαν-
όμεθα. οὐχὶ ἡ Μαρία Μαγδαληνὴ εὐθέως
ἐκ τοῦ τόπου, ἐν ᾧ ἔκλαυσεν, ἀνέστη, τῆς Μάρ-
θας εἰπούσης· ὁ διδάσκαλος πάρεστι, καὶ φω-
νεῖ σε; μακαρία ἡ ὥρα, ὅτε ὁ Ἰησοῦς ἀπὸ
τῶν δακρύων εἰς τὴν χαρὰν τοῦ πνεύματος
φωνεῖ. ὡς ξηρὸς καὶ σκληρὸς εἶ ἄνευ Ἰησοῦ;
ὡς ἀσύνετος καὶ μάταιος γίνῃ ἐπιθυμῶν τι-
νος ἔξω τοῦ Ἰησοῦ; οὐχὶ αὕτη μείζων βλάβη
ἐστίν, ἢ εἰ πάντα τὸν κόσμον ἀπώλεσας.

---

β. Τί ὁ κόσμος συμφέρειν σοι δύναται

ἄνευ Ἰησοῦ; ἀπεῖναι τοῦ Ἰησοῦ δεινὸς ~~ᾅδ~~ ᾅδης ἐστί. παρόντος σοι τοῦ Ἰησοῦ, οὐδεὶς ἐχθρὸς κακῶσαι δυνήσεται. ὁ τὸν Ἰησοῦν εὑρίσκων, θησαυρὸν ἀγαθὸν, μᾶλλον δὲ ἀγαθὸν ὑπὲρ πᾶν ἀγαθὸν εὑρίσκει. καὶ ὁ τὸν Ἰησοῦν ἀπολλύων, ἀπολλύει σφόδρα πολὺ, καὶ πλέον τοῦ ὅλου κόσμου. ἐνδεέστατος μέν ἐστιν ὁ ζῶν ἄνευ τοῦ Ἰησοῦ, πλουσιώτατος δὲ ὁ καλῶς ὢν μετὰ τοῦ Ἰησοῦ.

---

γ'. Μεγάλη ἐπιστήμη ἐστὶ τῷ Ἰησοῦ συνδιάγειν, καὶ ἐπίστασθαι τὸν Ἰησοῦν κρατεῖν μεγάλη φρόνησις. ἔσο ταπεινὸς καὶ εἰρηνοποιὸς, καὶ ὁ Ἰησοῦς σοι παρέσται. ἔσο εὐλαβὴς καὶ ἥσυχος, καὶ ὁ Ἰησοῦς σοι παραμενεῖ. δύνῃ μὲν τὸν Ἰησοῦν φυγαδεῦσαι, καὶ τὴν χάριν αὐτοῦ ἀπολέσαι, εἰ εἰς τὰ ἔξω ἐκκλίνειν βουλήσῃ. αὐτὸν δὲ φυγαδεύσας καὶ ἀπολέσας, πρὸς τίνα φεύξῃ; καὶ τίνα φίλον τότε ζητήσεις; ἄφιλος ὢν βιῶσαι οὐ δύνῃ, καὶ τοῦ Ἰησοῦ παρὰ πάντων φίλου σοι γινομένου, περίλυπος καὶ ἀπαράκλητος ἔσῃ. μωραίνεις οὖν, τῷ ἄλλῳ τινὶ θαρρῶν ἢ χαίρων. προαιρετέον μᾶλλον, ὅλον τὸν κόσμον ἀντικείμενον, ἢ τὸν Ἰησοῦν ὀργιζόμενον ἔχειν. διόπερ ἐκ πάντων ἀγαπητῶν ὁ Ἰησοῦς μόνος σοι ἰδίως ἀγαπητὸς ἔστω.

---

δ'. Πάντες μὲν διὰ τὸν Ἰησοῦν ἀγαπάσθωσαν

ὁ δὲ Ἰησοῦς δι' ἑαυτόν. τὸν Ἰησοῦν Χριστὸν μό-
νον χρὴ ὑπὲρ πάντας τοὺς ἄλλους φιλεῖν,
ὃς μόνος ἀγαθὸς καὶ πιστὸς παρὰ πάντας φί-
λους εὑρίσκεται. δι' αὐτὸν καὶ ἐν αὐτῷ οἱ φί-
λοι καὶ οἱ ἐχθροὶ ἀγαπητοί σοι γένοιντο.
καὶ ὑπὲρ πάντων χρὴ αὐτὸν ἱκετεύειν, ἵνα πάν-
τας αὐτὸν γνῶναι καὶ ἀγαπῆσαι. μηδέ-
ποτε ἐπιθύμει ἰδίως ἐπαινεῖσθαι, ἢ φι-
λεῖσθαι, ὅτι τοῦτο μόνου τοῦ θεοῦ ἐστι τοῦ ὅμοι-
ον αὐτῷ οὐκ ἔχοντος. μὴ βούλει τὴν καρ-
δίαν τινὸς διά σε ἄσχολον γίνεσθαι. μήτε
σὺ ἀσχολοῦ πρὸς τὸ φιλῆσαί τινα· ἀλλ'
ὁ Ἰησοῦς ἐν σοὶ καὶ ἐν παντὶ ἀγαθῷ ἀν-
θρώπῳ ἔστω.

---

έ. Γίνου καθαρός, καὶ τῆς ἐπιπλοκῆς τῆς ἐν
κτίσει τινὶ ἔσωθεν ἐλεύθερος. δεῖ σε γυ-
μνὸν εἶναι καὶ καθαρὸν τῇ καρδίᾳ τῷ θεῷ
προσφέρεσθαι, εἰ ἐθέλεις σχολάσαι καὶ ἰδεῖν
ὡς χρηστός ἐστιν ὁ κύριος. Καὶ ὄντως εἰς
τοῦτο οὐκ ἐλεύσῃ, εἰ μὴ τῆς χάριτος αὐτοῦ
σε προφθασάσης καὶ ἑλκυσάσης, ἵνα πάν-
των γυμνωθεὶς καὶ πᾶσιν ἀποταξάμενος
μόνος τῷ μόνῳ συνενωθῇς. τῆς μὲν
γὰρ χάριτος αὐτοῦ τῷ ἀνθρώπῳ ἐπερχο-
μένης, εἰς πάντα αὐτοὶ δυνατοὶ γίνεται

θητικὰς ζητεῖ, ἀλλὰ μᾶλλον χαλεπαὶ ἀσκήσεις, καὶ δεινοὺς πόνους ὑπὲρ τοῦ Χριστοῦ φέρειν ἐπιθυμεῖ.

---

δ. Διόπερ ὅτε πνευματικὴ παράκλησις ἀπὸ τοῦ θεοῦ δίδοται, αὐτὴν ἀποδέχου εὐχαριστῶν· καὶ αὐτὴν θεόσδοτον εἶναι, ἀλλ' οὐ κατὰ τὴν ἀξίαν σου γενέσθαι σοι νόμιζον. μὴ μεγαλοφρόνει, μήτε ἄγαν χαῖρε, μήτε ματαίως προλάμβανε· ἀλλὰ γίνου μὲν τῷ δώρῳ ταπεινότερος, ἐν ταῖς δὲ πράξεσί σου φρονιμώτερός τε καὶ εὐλαβέστερος, ὅτι ἡ ὥρα ἐκείνη παρελεύσεται, καὶ ἕψεται ὁ πειρασμός. τῆς παραμυθίας ἀφαιρεθείσης, μὴ εὐθέως ἀπελπίζε, ἀλλὰ ταπεινῶς καὶ ὑπομονητικῶς τὴν ἐπίσκεψιν οὐράνιον προσδόκα, ὅτι δυνατός ἐστιν ὁ θεὸς μείζω παράκλησίν σοι ἀποδοῦναι· τοῦτο τοῖς γνοῦσι τὴν ὁδὸν τοῦ θεοῦ οὐκ ἔστι καινόν, οὐδ' ἀλλότριον, ὅτι τοιαύτης ἀμοιβῆς τρόπος πολλάκις τοῖς δὲ τε τῇ ἁγιότητι προέχουσι, καὶ τοῖς πάλαι προφήταις ἦν.

---

ε. Διόπερ τις, παραγινομένης ἤδη τῆς χάριτος, ἔλεγεν· ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. ἀπούσης δὲ τῆς χάριτος, τίνος ἂν πεῖραν αὐτὸς ἐν αὐτῷ ἔλαβε, προσέθετο εἰπών· ἀπέστρεψας τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,

[illegible] ψαλμ. ις. κζ: α. [illegible]
ἢ συνείδησιν τεταραγμένος. ἀλλ' ὅμως.
ἐπὶ τούτοις μηδαμῶς ἀπογινώσκει, ἀλλὰ
πολὺ μᾶλλον τὸν κύριον λιπαρεῖ λέγων·
πρὸς σὲ κύριε κεκράξομαι, ὁ θεός μου.

**Π**ερὶ τῆς τοῦ Χριστοῦ μιμήσεως,
καὶ τῆς πασῶν τοῦ κόσμου ματαιοτήτων
α. ἐξουδενώσεως.

**Ὁ** ἀκολουθῶν ἐμοί, οὐ μὴ περιπατήσει
ἐν τῇ σκοτίᾳ, λέγει ὁ κύριος. ταῦτα τοῦ
Χριστοῦ ῥήματά ἐστιν, δι' ὧνπερ ὑπομιμνησκό-
μεθα τὸν βίον καὶ τὰ ἤθη αὐτοῦ μιμεῖσ-
θαι, ἐὰν ἀληθῶς φωτίζεσθαι, καὶ ἁπάσης τῆς
καρδίας τυφλότητος ἀπαλλαγῆναι θελή-
σωμεν. μεγίστη οὖν ἡ σπουδὴ ἡμῶν ἔστω,
ἐν τῷ τοῦ Χριστοῦ βίῳ μελετᾶν.

χξ. ε.

β. **Η** τοῦ Χριστοῦ διδαχὴ πασῶν τῶν ἁγί-
ων διδαχῶν προέχει. καὶ ὃς ἂν τὸ τοῦ Χριστοῦ
πνεῦμα κεκρυμμένον ἐκεῖ εὕροι. ἀλλὰ
συμβαίνει πολλοὺς ἐκ τῆς τοῦ εὐαγγελίου
πυκνῆς ἀκοῆς, ὀλίγης ἐπιθυμίας αἰσθέσθαι,
ὅτι τὸ τοῦ Χριστοῦ πνεῦμα οὐκ ἔχουσι. Δεῖ δὲ
τὸν τὰ τοῦ Χριστοῦ ῥήματα ὁλοκλήρως καὶ ἡδέ-
ως γινώσκειν ἐθέλοντα, τὸν ὅλον αὐτοῦ βί-
ον σπουδαίως αὐτῷ ἐξομοιοῦν.

γ. **Τ**ί γάρ σοι συμφέρει, ὑψηλὰ μὲν περὶ
τῆς τριάδος διαλέγεσθαι, ἀπορεῖν δὲ τῆς τα-
πεινότητος, ὅθεν ἂν ἀπαρέσῃς τῇ τριάδι;
ἀληθῶς ὑψηλὰ ῥήματα οὐ ποιεῖ ἅγιον καὶ
δίκαιον, ἀλλ' ὁ βίος φιλάρετος θεοφιλῆ
διατελεῖ. μᾶλλον εὔχομαι αἰσθέσθαι

τῆς κατανύξεως, ἢ τὸν ὁρισμὸν αὐτῆς γνῶναι. εἰ πᾶσαν τὴν γραφὴν, καὶ τὰ πάντων φιλοσόφων ἀξιώματα τῇ μνήμῃ κατέχοις, τί ἂν ἄνευ τῆς τοῦ θεοῦ ἀγάπης καὶ χάριτος λυσιτελήσειεν; ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης, πλὴν τοῦ τὸν θεὸν φιλεῖν, καὶ αὐτῷ μόνῳ δουλεύειν. Αὕτη σοφία μεγίστη ἐστὶ, διὰ τῆς τοῦ κόσμου ἐξουδενώσεως εἰς τὸν οὐρανὸν προϊέναι.

---

δ. Ματαιότης οὖν ἐστὶ, τὸν πλοῦτον ἀφανισθησόμενον ζητεῖν, καὶ ἐπ' αὐτῷ πεποιθέναι. ματαιότης ὁμοίως ἐστὶ, φιλοτιμεῖσθαι, καὶ αὐτὸν ὑψοῦσθαι. Ματαιότης ἐστὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἐπακολουθεῖν καὶ τοῦτο ποθεῖν, ὅθεν ὕστερον δεῖ δεινῶς κολάζεσθαι. Ματαιότης ἐστὶ τὸ μακροβιότητος εὔχεσθαι, καὶ τοῦ καλοῦ βίου ὀλιγωρεῖν. Ματαιότης ἐστὶ τῇ παρούσῃ ζωῇ μόνον προσέχειν τὸν νοῦν, καὶ περὶ τῶν μελλόντων οὐ προορᾶν. Ματαιότης ἐστὶ τὸ σὺν πάσῃ ὠκύτητι παραγόμενον ἀγαπᾶν καὶ ἐκεῖσε οὐ σπεύδειν ὅπου ἡ αἰώνια χαρὰ μένει.

ε. Μνήσθητι πολλάκις τοῦ λεγομένου· ὅτι οὐκ ἐμπλήθεται ὁ ὀφθαλμὸς τοῦ ὁρᾷν, καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως. Σπούδασον οὖν τὴν καρδίαν τοῦ τῶν ὁρατῶν ἔρωτος χωρίσαι, καὶ σεαυτὸν εἰς τὰ ἀόρατα μεταγαγεῖν. Οἱ γὰρ καταδιωκόντες τὸ αὐτῶν αἰσθητικὸν τὴν συνείδησιν ῥυπαίνουσι, καὶ τὴν τοῦ θεοῦ χάριν ἀπολλύουσι.

## Κεφ. β.

### Περὶ τῆς αὐτοῦ ἐξουδενώσεως.

α. Πᾶς ἄνθρωπος τοῦ εἰδέναι ὀρέγεται φύσει, ἀλλ' ἡ ἐπιστήμη ἄνευ τοῦ φόβου τοῦ θεοῦ τί συμφέρει; ὄντως, ταπεινὸς γεωργὸς, ὁ τῷ θεῷ δουλεύων κρείσσων ἐστὶ τοῦ ὑπερηφάνου φιλοσόφου, ὃς ἑαυτοῦ ὀλιγωρῶν, τὸν τοῦ οὐρανοῦ δρόμον σκέπτεται. Ὁ ἑαυτὸν καλῶς γινώσκων, ἑαυτῷ εὐτελίζεται, καὶ τοῖς ἀνθρωπίνοις ἐπαίνοις οὐ τέρπεται. Εἰ εἴδον πάντα τὰ ἐν κόσμῳ, οὐκ ὢν ἐν ἀγάπῃ, τί ἂν ὠφεληθείην, ἐνώπιον τοῦ θεοῦ, τοῦ ἐκ τοῦ ἔργου κρινοῦντος;

β. Παύου τῆς ἄγαν ἐπιστήμης ἐπιθυμίας, ὅτι μεγάλη διάσπασις καὶ ἀπάτη ἐκεῖ

βιβ: α. κεφ: β. στιγμὴ β. ἀρχ πγ. κη ἕως: ε. εὑρίσκεται. Οἱ ἐπιστήμονες ἡδέως σοφοὶ φαίνεσθαι καὶ λέγεσθαι ἐθέλουσι. πολλά ἐστιν, ὧν γνῶσις ὀλίγον ἢ μηδὲν τὴν ψυχὴν ὠφελεῖ· καὶ δὴ μάλα ἀνόητός ἐστιν ὁ προσέχων ἄλλοις, ἢ τοῖς τῇ σωτηρίᾳ αὐτοῦ προσήκουσι. πολλοὶ λόγοι τὴν ψυχὴν οὐ κορέσουσι, ζωὴ δὲ καλὴ τὸν νοῦν ἀναψύχει, καὶ καθαρὰ συνείδησις μεγάλην πρὸς τὸν θεὸν πεποίθησιν παρέχει.

---

γ. Ὅσῳ πλεῖον καὶ κρεῖττον γινώσκεις, τοσούτῳ δεινότερον κριθήσῃ, εἰ μὴ ἁγιώτερον ζήσεις. μὴ οὖν μεγαλοφρονήσῃς ἐπ᾽ οὐδεμιᾷ τέχνῃ ἢ ἐπιστήμῃ, μᾶλλον δὲ περὶ τῆς ἐπιστήμης τῆς σοι δοθείσης φοβοῦ. εἰ δοκεῖς σοι πολλὰ ἐπίστασθαι, καὶ καλῶς γινώσκειν, ἀλλ᾽ ὅμως ἴσθι, ὅτι πολλῷ πλείω ἐστὶν ἃ ἀγνοεῖς. μὴ ὑψηλοφρόνει, ἀλλὰ τὴν ἄγνοιάν σου μᾶλλον ὁμολόγει. διατί σεαυτὸν τῶν ἄλλων προτιμᾶν βούλει, ἐπειδὴ πλείους παιδευτότεροι, καὶ πρὸς τὸν νόμον ἐμπειρότεροί σου εὑρίσκονται; εἰ θέλεις τι συμφερόντως εἰδέναι καὶ μανθάνειν, φίλει τὸ ἀγνοεῖσθαι, καὶ φαυλίζεσθαι.

---

δ΄. Αὕτη ἡ ὑψηλοτάτη ϗ χρησιμωτάτη ἀνάγνωσίς ἐστιν, ἡ ἑαυτοῦ ἀληθὴς γνῶσις ϗ καταφρόνησις. τὸ περὶ αὐτοῦ μηδὲν, περὶ δ᾽ ἄλλων ἀεὶ καλῶς ϗ ὑψηλῶς γνῶναι, μεγάλη σοφία ϗ τελειότης ἐστίν. εἰ ἑώρας τινὰ φανερῶς ἁμαρτάνοντα, ἢ δεινόν τι πράττοντα, οὐκ ἂν ὤφειλές σε προτιμῆσαι αὐτοῦ, ὅτι οὐκ οἶδας ὁπόσον χρόνον ἐν τῷ καλῷ στῆναι δύνῃ. πάντε ἀσθενεῖς ἐσμὲν, μηδένα δὲ ἀσθενέστερόν σου εἶναι ἡγοῦ.

---

## Κεφ: γ΄.

### Περὶ διδαχῆς τῆς ἀληθείας.

α΄. Μακάριος, ὃν ἡ ἀλήθεια δι᾽ αὐτῆς διδάσκει, οὐ διὰ σχημάτων, ἢ φωνῶν παρερχομένων, ἀλλ᾽ ὡς αὐτὴ ἔχει. ἡ δόξα, ϗ ἡ αἴσθησις ἡμῶν πολλάκις ἡμᾶς ἀπατᾷ ϗ ὀλίγον βλέπει. τί συμφέρει τὸ μέγα ἔρισμα περὶ κρυφίων ϗ ἀσαφῶν πραγμάτων, ὧν ἐν κρίσει οὐκ ἐλεγχθησόμεθα, ὅτι ἠγνοήσαμεν; μεγάλη ἀνοησία, ἡμᾶς τῶν χρησίμων ϗ ἀναγκαίων ἀμελοῦντας αὐτομάτως τοῖς περιέργοις ϗ βλαβεροῖς προσέχειν, ὀφθαλμοὺς μὲν ἔχοντας οὐ δὲ ~~βλέποντας~~ βλέποντας.

β. Καὶ τί μέλει ἡμῖν τῶν γενῶν καὶ εἰδῶν;
ᾧτινι ὁ λόγος αἰώνιος λαλεῖ, πολλῶν δο-
ξῶν ἀπαλλάττεται. ἐξ ἑνὸς λόγου πάντα,
καὶ πάντα ἓν λαλεῖ· καὶ αὕτη ἀρχή ἐστιν, ἣ
καὶ ἡμῖν λαλεῖ. οὐδεὶς ἄνευ αὐτῆς νοεῖ, ἢ ὀρ-
θῶς κρίνει. ᾧ πάντα ἕν εἰσι, καὶ ὃς πάντα
εἰς ἓν ἕλκει, καὶ πάντα ἐν ἑνὶ ὁρᾷ, τῇ
καρδίᾳ εὐσταθὴς εἶναι, καὶ ἐν τῷ θεῷ ἥσυ-
χος διαμένειν δύναται. ὦ ἀλήθεια θε-
ός, ἐμὲ μετά σου ἓν ποίησον ἐν ἀϊδίῳ
ἀγάπῃ. Ἄχθομαι συχνῶς τῷ πολλὰ ἀνα-
γνῶναι, καὶ ἀκοῦσαι· ἐν σοὶ ὅλον ἐστὶν ὃ βού-
λομαι καὶ ἐπιθυμῶ. Σιγησάτωσαν πάντες
οἱ διδάσκαλοι, σιωπησάτωσαν πᾶσαι
αἱ κτίσεις ἐνώπιόν σου· σὺ μόνος μοι λά-
λησον.

---

γ. Ὁπόσῳ ἄν τις μᾶλλον αὐτῷ ἡνωμέ-
νος, καὶ ἔσω ἡπλωμένος ᾖ, τοσοῦτο πλείω καὶ ὑ-
ψηλότερα ἀπόνως γνώσεται, ὅτι τὸ τῆς
φρονήσεως φῶς ἄνωθεν λαμβάνει. Κα-
θαρόν, ἁπλοῦν, καὶ βέβαιον πνεῦμα ἐν πολ-
λοῖς ἔργοις οὐ σκεδάζεται, καὶ ἐν αὐτῷ σχο-
λὴν ἄγων, πάσης ἰδίας ἐπιζητήσεως ἀπ-
εῖναι πειρᾶται. τίς δὲ μᾶλλον ἢ τὸ ἐκ καρ-
δίας ἀνέκρωτον πάθημα ἐμποδίζει.

ἢ λυπεῖ; ἀγαθὸς καὶ εὐλαβὴς ἄνθρωπος τὰ ἔργα αὐτοῦ πρότερον ἔσω διατίθεται ἃ ἔξω πράττειν ὀφείλει· οὐδ' ἐκεῖνα αὐτὸν εἰς τὰς κακῆς ἐγκλίσεως ἐπιθυμίας ἕλκει, ἀλλ' αὐτὸς εἰς τὴν τοῦ ὀρθοῦ λόγου γνώμην, αὐτὰ ἐπικάμπτει. τίς ἔχει ἅμιλλαν ἰσχυροτέραν τοῦ ἑαυτὸν νικῆσαι σπουδάζοντος; καὶ τοῦτο ἂν τὸ πρᾶγμα ἡμῶν εἶναι ἔδει, δήπου νικῆσαι αὐτόν, καὶ καθ' ἑκάστην ἀνδρειότερον αὐτοῦ γενέσθαι, καὶ ἐπὶ τὸ βέλτιόν τι ἐπιδοῦναι.

---

δ. πᾶσα τελειότης ἐν τῇδε τῇ ζωῇ ἀτελές τι συλλαμβάνει, καὶ πᾶσα θεωρία ἡμῶν, τρόπον τινὰ σκοτίζεται. ἡ ταπεινὴ αὐτοῦ γνῶσις, ἀσφαλεστέρα ὁδὸς πρὸς τὸν θεόν ἐστιν, ἢ βαθεῖα τῆς ἐπιστήμης ἐξέτασις. ἀμέμπτως μὲν ἔχει ἐπιστήμη, ἢ ἡτισοῦν ἁπλῆ γνῶσις τοῦ πράγματος ἢ ἐν αὐτῇ ἐσκοπημένη, καὶ ὑπὸ τοῦ θεοῦ τεταγμένη, ἀγαθή ἐστι· τὴν δὲ καλὴν συνείδησιν καὶ ἐνάρετον βίον ἀεὶ περὶ πλείονος ποιητέον. ὅτι δὲ πλεῖστοι γνῶναι μᾶλλον, ἢ καλῶς ζῆν σπουδάζουσι, διὰ τοῦτο πολλάκις πλανῶνται, καὶ σχεδὸν οὐδένα ἢ ὀλίγον καρπὸν ποιοῦσιν.

---

ε. Εἴθε τοσαύτην σπουδὴν εἶχον τοῦ ἀποῤῥιζοῦσαι τὰς κακίας, καὶ ἐμφυτεύσαι τὰς

ἀρετὰς, ὅσην ποιοῦνται τὰ ζητήματα παρ-
έχειν, οὐκ ἂν τοσαῦτα κακὰ καὶ σκάν-
δαλα ἐν λαῷ, οὐδὲ τοσαύτη ἄνεσις ἐν τοῖς
κοινοβίοις ἐγίγνετο. Ἀληθῶς τῆς ἡμέρας
τῆς κρίσεως ἐρχομένης, οὐκ ἐρωτηθησόμε-
θα, τί ἂν ἀνέγνωμεν, ἀλλὰ τί ἐποιήσα-
μεν. οὐδ᾽ ὡς καλῶς ἐλέξαμεν, ἀλλ᾽ ὡς
εὐλαβῶς ἐζήσαμεν. Εἰπέ μοι, ποῦ νῦν
εἰσι πάντες οἱ κύριοι καὶ διδάσκαλοι, οὓς
ἔτι ζῶντας καὶ ἐπὶ λόγοις εὐδοκίμους ὄν-
τας εὖ ἐγνώρισας; Νυνὶ τὴν πρόσοδον
αὐτῶν ἄλλοι κτῶνται, καὶ οὐκ οἶδα πότερον
αὐτῶν ἀναμιμνῶνται. ἐν ζωῇ αὐτῶν
εἶναί τι ἐδόκουν, νῦν δὲ σιγῶνται.

---

ϛ. Ὡς ταχέως ἡ τοῦ κόσμου δόξα παρά-
γεται; ὄφελον ὁ βίος αὐτῶν τῇ γνώσει
συνεφώνησε. τότε καλῶς ἂν ἔμαθον, καὶ
ἀνέγνωσαν. ὡς πολλοὶ διὰ τὴν ματαίαν
ἐπιστήμην ἐν τῷ αἰῶνι ἀπόλλυνται, τῆς
τοῦ θεοῦ δουλείας ἀμελοῦντες; καὶ ἐπειδὴ
μεγάλοι ἢ ταπεινοὶ εἶναι μᾶλλον αἱ-
ροῦνται, ματαιοῦνται ἐν τοῖς διαλογισ-
μοῖς αὐτῶν. Ἀληθῶς μέγας ἐστὶ με-
γάλην ἔχων ἀγάπην. Ἀληθῶς μέγας
ἐστὶν, ὁ πρὸς ~~τοι~~ αὐτὸν μικρὸς ὤν, καὶ πᾶν
τὸ τῆς τιμῆς ἄκρον περὶ ὀλίγου ποιοῦ-

μενος. Ἀληθῶς φρόνιμός ἐστιν, ὁ πάν-
τα ἐπίγεια ἡγούμενος σκύβαλα, ἵνα
Χριστὸν κερδήσῃ. Ἀληθῶς δὲ ἢ εὐπαι-
δευτός ἐστιν, ὁ τὸ τοῦ θεοῦ θέλημα ποι-
ῶν, καὶ τὸ αὐτοῦ θέλημα καταλείπων.

---

κθ. ζ. Κεφ: δ.

## Περὶ τῆς προνοίας ἢ φρονήσεως, τῆς ἐν τῷ πράττειν.

α. Οὐ πιστευτέον παντὶ λόγῳ, οὐδ' ἐπι-
πνοίᾳ, ἀλλὰ πεφυλαγμένως καὶ μακρο-
θύμως δεῖ κατὰ θεὸν τὸ πρᾶγμα σκοπ-
εῖσθαι. Φεῦ, πολλάκις τὸ κακὸν ῥᾷον τοῦ
καλοῦ περὶ ἄλλου πιστεύεται, καὶ λέγεται.
οὕτως ἀσθενεῖς ἐσμεν. Οἱ δὲ τέλειοι ἄν-
δρες οὐ ῥᾳδίως παντὶ διηγουμένῳ πιστεύ-
ουσιν, ὅτι τὴν ἀνθρωπίνην ἀσθένειαν εὐ-
έμπτωτον πρὸς τὸ κακὸν, καὶ ἐν τοῖς λόγοις
εὐόλισθον γινώσκουσι.

---

β. Μεγάλη σοφία ἐν τῷ πράττειν οὐ προ-
πετῆ εἶναι, οὐδ' ἰσχυρογνωμονεῖν. ἔτι δὲ
ταύτῃ προσήκει, οὐ πᾶσι τοῖς τῶν ἀνθρώ-
πων λόγοις πιστεῦσαι. οὐδὲ τὰ ἀκουσθέν-
τα ἢ πιστευθέντα ταχέως παρ' ἄλλοις ἐξ-
αγορεῦσαι. μετὰ σοφοῦ ἀνδρὸς, καὶ ἀγαθὴν
συνείδησιν ἔχοντος βουλεύου. καὶ σπούδαζε

βιβ: α. κεφ: δ. στιχ: β. αχπγ. κθ Σεπ: ζ.

ὑπὸ τοῦ κρείττονος μᾶλλον παιδεύεσθαι, ἢ τοῖς εὑρήμασί σου ἀκολουθεῖν. καλὸς βί-
ος τὸν ἄνθρωπον σοφὸν κατὰ θεὸν, καὶ
ἔμπειρον πολλῶν καθίστησιν. ὅσω ἄν τις
ταπεινότερος καὶ θεοπειθέστερος ἦ, τοσούτω
ἐν πᾶσι σοφώτερος καὶ ἡσυχαίτερος ἔσται.

---

## Κεφ: ε.

### Περὶ τῆς ἀναγνώσεως τῶν ἁγίων γραφῶν.

α. Ἐν ταῖς ἁγίαις γραφαῖς τὴν ἀλήθειαν,
οὐ τὴν περὶ τοὺς λόγους δεινότητα δεῖ ζη-
τῆσαι. πᾶσαν γραφὴν τῷ δὲ τῷ πνεύ-
ματι ἀναγνωστέον ὥσπερ ἐποιήθη. τὴν
ὠφέλειαν ἐν ταῖς γραφαῖς μᾶλλον ζητῆ-
σαι ὀφείλομεν, ἢ τὴν λεπτολογίαν. οὕτως
ἀσμένως τὰς εὐλαβεῖς καὶ ἁπλᾶς βίβ-
λους ἀναγνωστέον, ὡς τὰς ὑψηλὰς καὶ βαθ-
είας. μὴ προσκρούσῃ σοι ἡ αὐθεντία τοῦ
γράφοντος, πότερον ἂν ὀλίγης ἢ πολλῆς
παιδείας ἐπιτύχῃ, ἀλλ᾽ ἡ εἰλικρινὴς τῆς
ἀληθείας πρὸς τὸ ἀναγνῶναι σε ἑλκύ-
σῃ. μὴ ἐρώτησον τίς ἂν τοῦτο εἴπῃ, ἀλ-
λὰ τῷ λεγομένῳ πρόσεχε.

---

β. Οἱ μὲν ἄνθρωποι παράγονται, ἡ δὲ
τοῦ κυρίου ἀλήθεια εἰς αἰῶνα μένει.
Ἀπροσωπολήπτως καὶ πολυτρόπως ὁ θεὸς

ἡμῶν λαλιά. ἡ πολυπραγμοσύνη ἡμῶν πολλάκις ἐν τῷ ἀναγνῶναι τὰς γραφὰς ἐμποδίζει ἡμᾶς, ὅτε νοεῖν καὶ ἐξετάζειν βουλόμεθα, ὅπου ἂν ἁπλῶς διεξιέναι ἔδει. ἐὰν θέλῃς ἐπίδοσιν λαμβάνειν, ἀνάγνωθι ταπεινῶς, ἁπλῶς καὶ πιστῶς· καὶ μηδέποτε βουληθῇς ἐπιστήμων ἀκούειν. ἐρώτα ἀσμένως, καὶ τοὺς τῶν ἁγίων λόγους ἄκουε σιγῶν. μὴ ἀπαρεσκέτωσάν σοι αἱ παραβολαὶ τῶν πρεσβυτέρων, ὅτι οὐ μάτην ἐκφέρονται.

---

## Κεφ: ς.

### Περὶ τῶν ἀτάκτων παθημάτων.

α. Ὁπότε ἂν ὁ ἄνθρωπος ἀτάκτως ἐπιθυμῇ τινος, εὐθέως πρὸς ἑαυτὸν ἀνήσυχος γίνεται. ὁ ὑπερήφανος καὶ πλεονέκτης οὔποτε ἀναπαύονται. ὁ πτωχὸς δὲ καὶ ταπεινὸς, τῷ πνεύματι ἐν πολλῇ εἰρήνῃ διάγουσιν. ὁ μήπω τελείως ἑαυτῷ θανὼν ταχέως πειράζεται, καὶ ἐν σμικροῖς καὶ εὐτελέσι νικᾶται. ὁ ἀσθενὴς τῷ πνεύματι, καὶ ἔτι πως σαρκικὸς ὤν, καὶ πρὸς τὰ αἰσθητικὰ ἀποκλίνων, χαλεπῶς ἑαυτὸν τῶν ἐπιγαιωδῶν ἐπιθυμιῶν πάντως χωρίζειν δύναται. Διόπερ αὐτὸν χωρίσας πολλάκις λυπεῖται, καὶ ῥαδίως ἀνα-

βιβ: ά. κεφ: ς. στιγμὴ ά. αχπγ. κθ Σκεφ: ζ
νακτεῖ εἴ τις αὐτῷ ἀντιτάττεται.

---

β. Ἐπιτελέσας δὲ τὸ πεποθημένον, ταχέως τῇ τοῦ συνειδήσεως ἐγκλήματι βαρύνεται, ὅτι ἠκολούθησε τῷ πάθει αὐτοῦ, ὅπερ μηδὲν ὠφελεῖ πρὸς εἰρήνην, ἣν ἐζήτησεν. οὐκοῦν ἐν τῷ ἀντιτάττεσθαι τοῖς παθήμασιν, ἡ τῆς καρδίας ἀληθὴς εἰρήνη εὑρίσκεται, ἀλλ' οὐκ ἐν τῷ δουλεύειν αὐτοῖς. Διὰ τοῦτο ἡ εἰρήνη οὐκ ἔστιν ἐν καρδίᾳ τοῦ σαρκικοῦ ἀνθρώπου, οὐδ' ἐν ἀνθρώπῳ τῷ τοῖς ἔξω προσκειμένῳ, ἀλλ' ἐν ζεστῷ καὶ πνευματικῷ.

---

## Κεφ: ζ.

### περὶ τοῦ τὴν ματαίαν ἐλπίδα καὶ μετεωρισμὸν φεύγειν.

ά. Μάταιός ἐστιν, ὁ τὴν ἐλπίδα αὐτοῦ ἐν ἀνθρώποις, ἢ ἐν κτίσεσιν ἔχων. μὴ αἰσχύνου τοῖς ἄλλοις, διὰ τὴν τοῦ Ἰησοῦ Χριστοῦ ἀγάπην δουλεύειν, καὶ πτωχὸς ἐν τῷδε τῷ αἰῶνι φαινόμενος. μὴ θάρσει σεαυτῷ, ἀλλ' ἐπὶ τὸν θεὸν ἔλπιζε. ποίει ὅσον ἐστὶν ἐπί σοι, καὶ ὁ θεὸς τῷ καλῷ θελήματί σου βοηθήσει. μὴ πέποιθε τῇ ἐπιστήμῃ σου, μήτ' οὐδενὸς ζῶντος πανουργίᾳ, ἀλλὰ μᾶλλον τῇ τοῦ θεοῦ χάριτι, τοῦ ὑψοῦντος τοὺς ταπεινοὺς, καὶ τοὺς θαρ-

σοῦντας αὐτοῦ ταπεινοῦντος.

β. Μὴ καυχῶ ἐπὶ πλούτῳ εἰ πάρεστι, μηδ' ἐπὶ φίλοις, ὅτι δυναστεύουσιν, ἀλλ' ἐν θεῷ, τῷ πάντα παρέχοντι, καὶ ὑπὲρ πάντα ἑαυτὸν δοῦναι ἐπιθυμοῦντι. Μὴ μεγαλοφρόνει ἐπὶ μεγέθει, ἢ κάλλει τοῦ σώματος, ὃ μικρὰ ἀσθένεια διαφθείρεται καὶ ἀπομορφοῦται. Μὴ ἄρεσκέ σοι ἐπ' εὐεξίᾳ, ἢ εὐφυΐᾳ σου, ἵνα μὴ δυσαρεστήσῃς τῷ θεῷ, οὗτινός ἐστι πᾶν ἀγαθὸν, ὅ,τι ἂν φυσικῶς ἔχεις.

γ. Μὴ νόμιζε σεαυτὸν ἀμείνω τῶν ἄλλων, ἵνα μὴ χείρων δοκήσῃς τῷ θεῷ τῷ γνόντι τὸ ἐν ἀνθρώπῳ. Μὴ φιλοτιμοῦ ἐπὶ τοῖς καλοῖς ἔργοις, ὅτι ἄλλαι αἱ τοῦ θεοῦ κρίσεις εἰσὶν, ἢ τῶν ἀνθρώπων, ᾧτινι πολλάκις ἀπαρέσκει, τὸ τοῖς ἀνθρώποις ἀρέσκον. εἰ ἔχεις καλόν τι, πίστευε κρείττω περὶ ἄλλων, ἵνα τὴν ταπεινότητα τηρήσῃς. οὐ βλάπτῃ εἰ σεαυτὸν περὶ ἐλάττονος πάντων ποιεῖς, βλάπτῃ δὲ πλεῖστον, εἰ σὲ καὶ ἑνὸς προκρίνεις. Συνεχὴς εἰρήνη παρὰ ταπεινῷ, τῇ δὲ τοῦ ὑπερηφάνου καρδίᾳ ζῆλος καὶ ἀγανάκτησις θαμινὴ ἔνεστι.

## Κεφ: η.

Περὶ τοῦ φυλάττεσθαι τὴν ἄγαν συνήθειαν.

α. Μὴ παντὶ ἀνθρώπῳ τὴν καρδίαν σου ἀποκάλυψον· ἀλλὰ μετὰ τοῦ φρονίμου καὶ φοβουμένου τὸν θεὸν τὰ σοῦ πράττε. τοῖς νέοις καὶ τοῖς ἔξω σπανίως συγγίνου. τοῖς πλουσίοις μὴ κολάκευε καὶ ἐνώπιον τῶν μεγιστάνων οὐχ ἑκουσίως φαίνου. τοῖς ταπεινοῖς καὶ τοῖς ἁπλοῖς, τοῖς εὐλαβέσι, καὶ τοῖς τὸ ἦθος σπουδαίοις πλησίαζε, τὰ τῆς οἰκοδομῆς πράττων. μηδεμιᾷ γυναικὶ οἰκείως κέχρησο, ἀλλὰ κοινῶς πάσας ἀγαθὰς γυναῖκας τῷ θεῷ σύστησον. μόνῳ τῷ θεῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ οἰκεῖος εἶναι εὔχου, καὶ τὴν τῶν ἀνθρώπων γνώρισιν εὐλαβοῦ.

---

β. Τὴν μὲν ἀγάπην δεῖ ἔχειν εἰς πάντας, ἡ δ' οἰκειότης οὐ συμφέρει. συμβαίνει ποτὲ, τὸν ἄγνωστον ἄνθρωπον ἐξ εὐφημίας λαμπρύνεσθαι, ἐνοῦ μέν τοι παρουσία ἐν τοῖς τῶν εἰσορώντων ὀφθαλμοῖς ἀμαυροῖ. Νομίζομεν ποτὲ τοῖς ἄλλοις ἐκ συνουσίας ἡμῶν ἀρέσκειν, ἀλλ' ἐκ τε τῶν τρόπων ἡμῶν κακότητος τε ἐν ἡμῖν σκοπηθείσης, μᾶλλον ἀπαρέσκειν ἀρχόμεθα.

## Κεφ: θ.

### Περὶ τῆς ὑπακοῆς καὶ ὑποταγῆς.

α. Μέγιστόν ἐστιν ἐν τῇ ὑπακοῇ τῷ προστάτῃ ὑποταχθέντα διάγειν, καὶ οὐκ αὐτεξούσιον εἶναι, πολλῷ ἀσφαλέστερόν ἐστιν, ἐν ὑποταγῇ, ἢ ἐν προστασίᾳ διαβιῶσαι. πολλοὶ ἐξ ἀνάγκης μᾶλλον, ἢ ἐξ ἀγάπης ὑποτεταγμένοι διατελοῦσι· καὶ ἐκεῖνοι τιμωρίαν ἔχουσι, καὶ ῥαδίως γογγύζουσι, καὶ τὴν τοῦ νοῦ ἐλευθερίαν οὐ κτήσονται, ἐὰν μὴ ἐξ ὅλης τῆς καρδίας ἑαυτοὺς διὰ τὸν θεὸν ὑποτάξωσι. Τρέχε δεῦρο ἢ ἐκεῖσε· οὐχ εὑρήσεις τὴν ἡσυχίαν, εἰ μὴ ἐν ταπεινῇ ὑποταγῇ, ὑπὸ τῇ τοῦ ἐπιστάτου κυβερνήσει. ἡ φαντασία καὶ μεταβολὴ τῶν τόπων πολλοὺς ἐξηπάτησεν. λ́. α.

---

β. Ἀληθὲς μέν ἐστιν, ὅτι ἕκαστος ἀσμένως κατὰ τὸ δοκεῖν αὐτῷ πράττει, καὶ μᾶλλον πρὸς τοὺς ὁμοδοξοῦντας αὐτῷ ἐγκλίνει. Καί τοι εἰ ὁ θεὸς μεταξὺ ἡμῶν ἐστιν, ἀνάγκη διὰ τὸ τῆς εἰρήνης καλὸν, καὶ τὸ δοκοῦν ἡμῖν ποτε καταλειπεῖν. τίς οὕτω σοφός ἐστιν, ὃς πάντα τελείως γνῶναι δύναται; μὴ οὖν ἄγαν τῷ νοΐ σου πέποιθε, ἀλλὰ καὶ τῆς τῶν ἄλλων γνώμης ἑκουσίως ἀκούειν ἔθελε. εἰ καλόν ἐστι

βιβ: ά. κεφ: θ. στιχ. β. αχπγ. λξκιε: α.
τὸ δοκοῦν σοι, καὶ τοῦτο διὰ τὸν Θεὸν καταλείπεις, τῷ ἄλλῳ ἑπόμενος, μείζω ἐπίδοσιν ἐντεῦθεν λήψῃ.

---

γ. Πλεονάκις γὰρ ἤκουσα, ἀκινδυνότερον εἶναι ἀκούειν καὶ λαμβάνειν τὴν βουλὴν, ἢ διδόναι. καὶ δὴ ἐνδέχεται τὴν ἑκάστου δόκησιν καλὴν εἶναι· ἄλλοις δὲ, τοῦ λόγου καὶ τῆς αἰτίας τοῦτο ζητούσης, οὐ βούλεσθαι συνευδοκῆσαι, τῆς ὑπερηφανίας, καὶ ἰσχυρογνωμοσύνης σημεῖόν ἐστι.

---

## Κεφ: ι.

### Περὶ τοῦ εὐλαβεῖσθαι τὴν περιττολογίαν.

α. Εὐλαβοῦ τὸν θόρυβον τῶν ἀνθρώπων, καθ' ὅσον δύνῃ· πολὺ γὰρ ἡ τῶν κοσμικῶν πράξεων διάλεξις ἐμποδίζει, κἂν ἁπλῇ προαιρέσει ἐξενεχθῶσι. ταχέως γὰρ τῇ ματαιότητι μολυνόμεθα καὶ ἁλισκόμεθα. βουλοίμην ἂν πλεονάκις σιγῆσαι, καὶ τοῖς ἀνθρώποις οὐ παραγενέσθαι. Ἀλλὰ διὰ τί οὕτως ἀσμένως λαλοῦμεν, καὶ ἀλλήλοις ὁμιλοῦμεν, καίπερ σπανίως ἀβλαβεῖς τὴν συνείδησιν πρὸς τὸ σιωπᾶν ἀναστρέφοντες; τούτου ἕνεκα οὕτως ἀσμένως λαλοῦμεν; ὅτι διὰ τοῦ ἀλλήλοις ὁμι-

λιῶν ἀπ' ἀλλήλων παραμυθίαν ζητοῦ-
μεν, ἢ τὴν καρδίαν τὴν πολυτρόποις
λογισμοῖς ἐκπονηθεῖσαν ἀναλαμβάνειν
ποθοῦμεν. Καὶ πολὺ ἀσμένως περὶ
τούτων, ἃ πολὺ ἀγαπῶμεν, ἢ ποθοῦμεν,
ἢ ἅπερ ἡμῖν ἐναντία αἰσθανόμεθα,
λαλοῦντες καὶ ἐννοοῦντες χαίρομεν.

---

β. Φεῦ δὲ πολλάκις διακενῆς καὶ μάτην.
Αὕτη γὰρ παράκλησις ἡ ἔξω, τῆς ἐνδοτέρας
καὶ θεϊκῆς παρακλήσεως βλάβη μεγάλη
ἐστί. Διὸ χρὴ γρηγορεῖν καὶ εὔχεσθαι, ἵνα
μὴ ὁ χρόνος ἀργῶς παρέρχηται. Εἰ λα-
λῆσαι ἔξεστι, καὶ συμφέρει, τὰ τῇ οἰκοδο-
μῇ λάλησον. ἡ κακοήθεια καὶ ἡ τῆς προκο-
πῆς ἡμῶν ἀμέλεια, τὴν ἀφυλαξίαν
τοῦ στόματος ἡμῶν σφόδρα ἀπεργάζε-
ται. Ἀλλ' ὅμως τὸ περὶ τῶν πνευματι-
κῶν πραγμάτων διαλέγεσθαι, πρὸς τὴν
πνευματικὴν ἐπίδοσιν πάνυ χρήσιμόν
ἐστιν, ἄλλως τε ἐὰν οἱ ὁμόψυχοι καὶ ὁ-
μόθυμοι ἐν τῷ θεῷ ἀλλήλοις πλησιά-
σωσι.

---

## Κεφ: ια.

### Περὶ τοῦ κτήσασθαι τὴν εἰρήνην, καὶ τοῦ τῆς ἐπιδόσεως ζήλου.

α. Πολλὴν εἰρήνην ἔχειν ἂν δυνηθείη-
μεν, εἰ μὴ περὶ τοὺς τῶν ἄλλων λόγους
καὶ πράξεις ταῖς οὐδὲν πρὸς ἡμᾶς οὔσας,

βιβ: ά. κεφ: ια. στιγμὴ ά. ἀρχ. π. ἢ ἐκκλ: α.

ἀσχολίας ἐθέλομεν. Πῶς πολὺν χρόνον τῇ εἰρήνῃ ἐμμεῖναι δύναται, ὁ ταῖς ἀλλοτρίαις φροντίσιν ἑαυτὸν ἐμπλέκων, τὰς δ' ἀφορμὰς τὰς ἔξω ζητῶν, καὶ ὀλίγακις ἢ σπανίως ἔνδον συλλέγων ἑαυτόν; Μακάριοι οἱ ἁπλοῖ, ὅτι πολλὴν εἰρήνην ἕξουσι.

β. Διὰ τί τινες τῶν ἁγίων οὕτω τέλειοι καὶ θεωρητικοὶ γεγόνασιν; ὅτι παντελῶς πάσας γηΐνους ἐπιθυμίας ἐν ἑαυτοῖς νεκρῶσαι ἐσπούδασαν. Διόπερ ἐξ ὅλης ἰσχύος τῆς καρδίας, τῷ θεῷ προσκολλᾶσθαι, καὶ αὐτοῖς ἐλευθερίως σχολάζειν ἐδυνήθησαν. ἡμᾶς ἄγαν πρὸς τὰ ἴδια πάθη ἀσχολοί ἐσμεν, καὶ ὑπὲρ τῶν πλωσίμων λίαν φροντίζομεν. Ἔτι δὲ σπανίως μίαν κακότητα τελείως νικῶμεν, καὶ ἐπὶ τὴν καθημερινὴν προκοπὴν οὐ παροξυνόμεθα· διόπερ ψυχροὶ καὶ χλιαροὶ διατελοῦμεν.

γ. Εἰ τελείως ἡμῖν αὐτοῖς ἀποθάνομεν, καὶ ἔνδον ὁλασμῶς ἐνεπλέχθημεν, τότε ἂν καὶ τὰ τοῦ θεοῦ φρονεῖν, καὶ τῆς οὐρανίου θεωρίας πειρᾶσθαί πως ἐδυνάμεθα.

ὅλον καὶ μέγιστον ἐμπόδισμά ἐστιν, ὅτι οὐ
τῶν παθημάτων καὶ ἐπιθυμιῶν ἐλεύθε-
ροί ἐσμεν, οὐδὲ τὴν τῶν ἁγίων ὁδὸν βα-
δίζειν ἐπιχειροῦμεν. πρὸς δὲ τούτοις, μι-
κροῦ ἀτυχήματος συμβαίνοντος, λίαν τα-
χέως καταβαλλόμεθα, καὶ πρὸς τὰς ἀν-
θρωπίνους παραμυθίας ἀποστρεφόμεθα.

---

δ. Εἰ ὡς ἄνδρες ἰσχυροὶ ἐν τῷ πολέμῳ
στῆναι ἐσπουδάζομεν· ὄντως τὴν τοῦ κυρίου
βοήθειαν ἐφ' ἡμᾶς οὐρανόθεν ἂν βλέπο-
μεν. αὐτὸς γὰρ τοῖς ἀγωνιζομένοις,
καὶ ἐπὶ τὴν χάριν αὐτοῦ ἐλπίζουσι βοηθεῖν
ἕτοιμός ἐστιν· ὃς τοὺς τοῦ ἀγωνίσασθαι και-
ροὺς ἡμῖν παρέχει, ἵνα νικῶμεν. ἐὰν μό-
νον ἐν ταῖς τηρήσεσι ταῖς ἔξω τὴν τῆς θε-
οσεβείας ἐπίδοσιν τιθῶμεν, ταχέως
ἡ εὐλάβεια ἡμῶν τελεσθήσεται.
Ἀλλὰ τὴν ἀξίνην πρὸς ῥίζαν θῶμεν,
ἵν' ἀπὸ παθῶν καθαρισθέντες, εἰρηνικὸν
νοῦν ἔχωμεν.

---

ε. Εἰ κατ' ἐνιαυτὸν μίαν κακίαν ἀπεῤῥίζου-
μεν, ταχέως ἂν ἄνδρες τέλειοι ἦμεν.
καίτοι νῦν τοὐναντίον πολλάκις αἰσθανό-
μεθα, βελτίους καὶ καθαρώτεροι ἐν τῇ
τῆς ἐπιστροφῆς ἀρχῇ γενόμενοι, ἢ με-
τὰ πολλὰ ἔτη τοῦ ἐπαγγέλματος.

βιβ: ά. κεφ: ιά. στιγμὴ έ. ἀρχ. πν. [illegible]

ἔδει μὲν ἂν ζέσιν καὶ προκοπὴν ἡμῶν καθ' ἑκάστην αὔξεσθαι· νυνὶ δὲ πρὸς πολλοῦ ἡγούμεθα, ἐάν τις τὸ τῆς πρώτης ζέσεως μέρος φυλάξαι δυνηθῇ. εἰ μικρὸν ἡμᾶς βιώσαιμεν ἐν ἀρχῇ, τότε ἂν πάντα ῥᾳδίως καὶ εὐθύμως ποιεῖν ἐδυνάμεθα.

---

έ. Χαλεπὸν μέν ἐστι τὰ εἰθισμένα καταλιπεῖν, χαλεπώτερον δ' ἐστὶ τῷ ἰδίῳ θελήματι ἐναντιοῦσθαι. Ἀλλὰ μὴν εἰ μὴ τὰ μικρὰ καὶ κοῦφα νικᾷς, πότε τῶν χαλεπωτέρων περιγενήσῃ; Ἀντιστάτει ἐπ' ἀρχῆς τῇ ἀποκλίσει σου, καὶ τὴν κακοήθειαν μεταμάνθανε, ἵνα μήποτε κατὰ μικρὸν εἰς μείζω χαλεπότητα σε ~~παρέχον~~ ἀγάγῃ. Εἴθε ἐνόεις ὅσην ἂν εἰρήνην σοι, καὶ τοῖς ἄλλοις χαρὰν ἐποίεις καλοκἀγαθόν σε παρέχων, τῆς πνευματικῆς ἐπιδόσεως, οἶμαι μᾶλλον ἂν ἐφρόντιζες.

---

## Κεφ. ιβ.

Περὶ τῆς τοῦ ἀτυχήματος ὠφελείας.

α. Καλὸν ἡμῖν ἐστι χαλεπότητάς ποτε καὶ ἐναντιότητάς τινας πάσχειν· ὅτι πολλάκις τὸν ἄνθρωπον εἰς τὴν καρδίαν ἀνακαλοῦσι, τοῦ γνῶναι ὅτι αὐτὸς ἐξόριστός

ἐστι, καὶ ἐν μηδενὶ τοῦ κόσμου τὴν ἐλπίδα αὐτοῦ θέλῃ. καλὸν ἡμῖν ἀντιλέγοντάς ποτε πάσχειν, καὶ περὶ ἡμῶν κακῶς καὶ ἐλλιπῶς γινώσκεσθαι, εἰ καὶ καλῶς πράττομεν καὶ προαιρούμεθα. ταῦτα πολλάκις εἰς τὴν ταπεινότητα ἰσχύει, καὶ ἀπὸ τῆς κενοδοξίας ἡμᾶς φυλάττει. τότε γὰρ βέλτιον τὸν θεὸν τὸν ἔνδον μάρτυρα ζητοῦμεν, ὅτε ἔξω ὑπ' ἀνθρώπων φαυλιζόμεθα καὶ ἀπιστούμεθα.

---

β. Διόπερ ἐν τῷ θεῷ αὐτὸν στερεῶσαι ἂν δέοι τὸν ἄνθρωπον, τοῦ μὴ ἀναγκαῖον εἶναι πολλὰς παραμυθίας ἀνθρωπικὰς ζητεῖν. ὁ πότ' ἄνθρωπος, ὁ τὴν προαίρεσιν ἀγαθὸς θλίβεται, ἢ πειράζεται, ἢ τοῖς κακοῖς λογισμοῖς ἀνιᾶται, τότε τὸν θεὸν αὐτῷ ἀναγκαιότερον γινώσκει, ἄνευ οὗ αὐτὸν μηδὲν καλὸν δύνασθαι καταλαμβάνει. τότε καὶ λυπεῖται, στενάζει, καὶ τὰ κακὰ ἅπερ ὑπομένει, ἀπεύχεται. τότε ἐπὶ πλέον ζῆν ἄχθεται, καὶ ἐλθεῖν τὸν θάνατον εὔχεται, τοῦ δύνασθαι ἀναλῦσαι, καὶ σὺν χριστῷ εἶναι. τότε καὶ εὖ νοεῖ τὴν τελείαν ἀσφάλειαν, καὶ πλήρη εἰρήνην ἐν τῷ κόσμῳ οὐ δύνασθαι διατελεῖν.

---

## Κεφ: ιγ.

### Περὶ τοῦ ἀντιστῆναι τοῖς πειρασμοῖς.

α. Μέχρι οὗ ἐν κόσμῳ ζῶμεν, ἄθλιπτοι, καὶ ἀπείραστοι εἶναι οὐ δυνάμεθα. Ὅθεν ἐν τῷ Ἰὼβ γέγραπται· πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς. Διὰ τοῦτο δεῖ ἕκαστον ἐν τοῖς πειρασμοῖς αὐτοῦ μεριμνᾶν, καὶ ἐν ταῖς εὐχαῖς γρηγορεῖν, τοῦ μὴ τὸν διάβολον εὑρεῖν τὸν τῆς ἀπάτης τόπον, ὃς μηδέποτε νυστάζει, ἀλλὰ περιπατεῖ ζητῶν τίνα καταπίῃ. Οὐδεὶς εἰς τοῦτο τελειότητος, καὶ ἁγιοσύνης ἐλήλυθεν, ὥστε μήποτε πειρασμοὺς ἔχειν, καὶ παντελῶς αὐτῶν ἀπαλλαγῆναι οὐχ οἷοί τε γινόμεθα.

---

β. Ἀλλ᾽ ὅμως οἱ πειρασμοὶ τῷ ἀνθρώπῳ πολλάκις πάνυ συμφέρουσι, καίπερ ὀχληροὶ καὶ βαρεῖς ὄντες, ὅτι ἐν αὐτοῖς ταπεινοῦται, καθαρίζεται, καὶ παιδεύεται. Ἅπαντες μὲν οἱ ἅγιοι διὰ πολλῶν θλίψεων καὶ πειρασμῶν διῆλθον καὶ προέκοψαν· οἱ δὲ τοὺς πειρασμοὺς ἀνέχειν οὐ δυνηθέντες, ἀδόκιμοι ἐγένοντο, καὶ ἐξέλιπον. Οὐδεμία τάξις οὕτως ἁγία ἐστίν, οὐδὲ τόπος οὕτως

ἀποκεχωρισμένος, ὅπου οἱ πειρασμοὶ
καὶ συμφοραὶ οὐκ εἰσίν.

---

γ. Οὐκ ἔστιν ὁ ἄνθρωπος πάντως ἀσφαλὴς
τῶν πειρασμῶν, ἕως ἂν ζήσῃ. ὅτι ἡμῖν
ἔνεστιν, ὅθεν ἂν πειρασθῶμεν, ἀνθ' ὧν ἐν
ἐπιθυμίᾳ ἐγεννήθημεν. πειρασμοῦ ἢ
θλίψεως μιᾶς ἀπελθούσης, ἄλλη ἐπέρ-
χεται, καὶ ἀεὶ πάσχειν τι ἕξομεν, τὸ γὰρ
τῆς εὐδαιμονίας ἡμῶν ἀγαθὸν ἀπωλέσα-
μεν. Οἱ πολλοὶ τοὺς πειρασμοὺς φεύ-
γειν ἐπιχειροῦντες, εἰς βαρέως ἐμπίπτουσι.
Διὰ μόνης φυγῆς οὐ δυνάμεθα περιγίγ-
νεσθαι, ἀλλὰ διὰ ὑπομονῆς καὶ ἀληθοῦς τα-
πεινότητος, πάντων ἐχθρῶν ἰσχυρότεροι
ἀποβαίνομεν.

---

δ. Ὁ μόνον ἔξω ἐκκλίνων, καὶ τὴν ῥίζαν οὐκ
ἐξαιρῶν, ὀλίγον ἐπιδώσει. μᾶλλον δὲ πρὸς
αὐτὸν πειρασμοὶ ἀναστρέψουσι, καὶ χεῖρον
ἕξει. Κατὰ μικρὸν μεθ' ὑπομονῆς καὶ
μακροθυμίας (σὺν θεῷ) κρεῖττον, ἢ με-
τὰ σκληρότητος καὶ ἀκαιρίας ἰδίας νικήσεις
πειρασθεὶς πλεονάκις συμβουλεύου, καὶ
τῷ πειρασθέντι μὴ σκληρῶς πλησίαζε
ἀλλὰ παραμυθίαν προσφέρε, ὥσπερ ἂν
σοι γενέσθαι εὔχοιο.

---

ε. **Π**άντων κακῶν πειρασμῶν ἀρχὴ ἡ τῆς ψυχῆς ἀστασία, καὶ ὀλίγη ἐπὶ τὸν θεὸν πεποίθησίς ἐστιν. ὥσπερ γὰρ τὸ πλοῖον ἀπηδάλιον ἔνθεν καὶ ἔνθεν ὑπὸ κυμάτων σαλεύεται, οὕτως ὁ ἄνθρωπος ἀνειμένος, καὶ τὴν αὐτοῦ προαίρεσιν ἐλλείπων πολυμερῶς πειράζεται. Τὸ μὲν πῦρ τὸν σίδηρον, ὁ δὲ πειρασμὸς τὸν ἄνθρωπον τὸν δίκαιον δοκιμάζει. Ἀγνοοῦμεν πολλάκις, τί δυνάμεθα, ἀλλ' ὁ πειρασμὸς δηλοῖ τί ἐσμεν. Ἀλλ' ὅμως γρηγορητέον, μάλιστα κατὰ τὴν τοῦ πειρασμοῦ ἀρχήν, ὅτι τότε ὁ ἐχθρὸς ῥᾷον νικᾶται, ἡνίκα τὴν τῆς ψυχῆς θύραν εἰσελθεῖν οὐκ ἐᾶται, ἀλλ' ἔξω τοῦ οὐδοῦ, ἅμα ὡς ἔκρουσεν αὐτῷ ἀντιάζομεν. Διόπερ τις ἔλεξεν, Ἀρχὴν ἰάθης, πολύ λῷον ἢ τελευτήν. πρῶτον γὰρ ἡ ἁπλῆ ἔννοια εἰς τὴν ψυχὴν ἐπέρχεται· εἶτα κραταιὰ φαντασία· μετὰ ταῦτα τέρψις καὶ πονηρὰ κίνησις καὶ συνευδόκησις. οὕτω δὲ κατ' ὀλίγον ὁ πανοῦργος ἐχθρὸς πάντως εἰσέρχεται, ἡμῶν αὐτῷ ἐν ἀρχῇ οὐκ ἀντιστάντων. Καὶ ὅσῳ χρονιώτερόν τις ἐν τῷ ἀντιστῆναι ῥᾳθυ-

μήσει, τοσούτῳ ἐν αὐτῷ καθ' ἑκάστην
ἀσθενέστερος, καὶ ὁ ἐχθρὸς κατ' αὐτοῦ
ἰσχυρότερος γίνεται.

---

ϛ. Οἱ μὲν ἐν τῇ τῆς ἐπιστροφῆς αὐτῶν
ἀρχῇ δεινοτέρους πειρασμοὺς ὑπομέ-
νουσιν, οἱ δ' ἐν τῷ τέλει· οἱ δὲ σχεδὸν
δι' ὅλου βίου αὐτῶν κακοπαθοῦσιν. ἔνιοι
ἅλις ἠρεμαίως πειράζονται, κατὰ τὴν
τῆς θείας διοικήσεως σοφίαν τε καὶ ἐπι-
είκειαν, ἣ περὶ τὴν τάξιν καὶ τὰς ἀξίας τῶν
ἀνθρώπων σταθμᾶται, καὶ πάντα εἰς
τὴν τῶν ἐκλεκτῶν αὐτοῦ σωτηρίαν
προορίζει.

---

ζ. Διόπερ οὐ χρὴ ἡμᾶς πειραζομένους
ἀθυμῆσαι, ἀλλὰ τοσούτῳ μᾶλλον δεη-
θῆναι τοῦ θεοῦ, ἀξιοῦν ἡμῖν ἐν πάσῃ
θλίψει βοηθεῖν, ὃς δήπου κατὰ τὸν τοῦ
Παύλου λόγον, σὺν τῷ πειρασμῷ τοιαύ-
την ἔκβασιν ποιήσει, τοῦ δύνασθαι ἡ-
μᾶς ὑπενεγκεῖν. Τοιγαροῦν ταπεινώ-
σωμεν τὰς ψυχὰς ἡμῶν ὑπὸ τὴν χεῖ-
ρα τοῦ θεοῦ ἐν παντὶ πειρασμῷ καὶ θλί-
ψει, ὅτι αὐτὸς τοὺς ταπεινοὺς τῇ καρ-
δίᾳ σώσει καὶ ὑψώσει.

---

η. Ἐν τοῖς πειρασμοῖς καὶ θλίψεσιν ὁ ἄνθρω-
πος δοκιμάζεται, ὅσον προέκοψε, καὶ ἐν αὐ-
ταῖς μείζων ἡ ἀξία ἐστί, καὶ ἡ ἀρετὴ

βιβ: ά. κεφ: ιγ. στιγμὴ η. ἀγ. πγ. ά Εκα: γ.

μᾶλλον διδᾶται. οὐδὲ μέγα ἐστὶ, τὸ ἄνθρωπον τὸν μὴ ῥαθυμωθέντα, εὐλαβῆ, ἢ ζαστοὶ εἶναι, ἀλλὰ τῷ τῆς συμφορᾶς χρόνῳ καρτερεῖν, μεγάλης ἐπιδόσεως ἐλπίς ἐστι. Τινὲς μὲν ἀπὸ τῶν μεγάλων πειρασμῶν φυλάττονται, ἐν δὲ μικρῶν τῶν καθ᾽ ἑκάστην πολλάκις ἡττῶνται, ἵνα ταπεινωθέντες μηδέποτε αὐτοῖς ἐν μεγάλοις πεποίθωσιν, ὡς οἱ ἐν τοῖς οὕτω μικροῖς ἀσθενοῦντες.

## Κεφ: ιδ.

### Περὶ τοῦ τὴν ἄλογον κρίσιν φεύγειν.

ά. Τοὺς ὀφθαλμοὺς σεαυτῷ προσβάλλε, καὶ τὰς τῶν ἄλλων πράξεις μὴ κρῖνε. ὁ μὲν ἄνθρωπος ὁ τοὺς ἄλλους κρίνων, ματαιοπονεῖ, πολλάκις σφάλλεται, καὶ ῥᾳδίως ἁμαρτάνει. ὁ δὲ ἑαυτὸν κρίνων, καὶ ἐξετάζων ἀεὶ συμφερόντως ἐργάζεται. ὥσπερ τοῦ πράγματος ἡμῖν μέλει, οὕτω, συχνῶς τοῦτο κρίνομεν. Τὴν γὰρ κρίσιν τὴν ἀληθῆ, διὰ τὴν φιλαυτίαν ῥᾳδίως ἀπολλύμεθα. Εἰ ὁ θεὸς ἀεὶ ὁ σκοπὸς ἡμῶν ἐγίνετο, οὐκ ἂν οὕτω ῥᾳδίως τὴν ἐναντίωσιν τῆς γνώμης ἡμῶν ἐταραττόμεθα.

29

β. Καίτοι πολλάκις ἐντός τι κατακρύπτεται, ἢ ἐκτὸς συντρέχει, τὸ ἡμᾶς ἅμα ἕλκον. Πολλοὶ ἑαυτοὺς ἐν ταῖς πράξεσιν αὐτῶν κρυφῇ καὶ λαθόντες ζητοῦσι. Προσέτι τῇ μὲν καλῇ εἰρήνῃ ἐμμένειν δοκοῦσι, τῶν πραγμάτων κατὰ βούλησιν καὶ γνώμην αὐτῶν γινομένων. Εἰ δ' ἄλλως ἢ ἐπιθυμοῦσι, γίνεται, ταχέως ταράττονται καὶ λυποῦνται. Διὰ τὴν τῶν γνωμῶν καὶ δοξῶν διαφορὰν αἱ διχοστασίαι ἐν φίλοις καὶ πολίταις, ἐν ἀσκηταῖς καὶ εὐλαβέσιν ἅλις πυκνῶς γίγνονται.

---

γ. Τὸ παλαιὸν ἔθος χαλεπῶς καταλείπεται, καὶ οὐδεὶς παρὰ τὸ ἴδιον δοκοῦν ἀσμένως ἄγεται. Ἐὰν τῷ λόγῳ ἢ τῇ ἐπιμελείᾳ σου μᾶλλον πεποιθῇς, ἢ τῇ ὑποτακτικῇ ἀρετῇ τοῦ Ἰησοῦ Χριστοῦ, σπανίως καὶ βραδέως ἄνθρωπος πεφωτισμένος ἔσῃ, ὅτι ὁ θεὸς ἡμᾶς τελείως αὐτῷ ὑποταχθῆναι, καὶ πάντα τὸν λόγον δι' ἀγάπης τῆς διακαιούσης ὑπερβῆναι ἐπιθυμεῖ.

---

## Κεφ: ιε.

## Περὶ τῶν ἔργων τῶν ἐκ τῆς ἀγάπης πεποιημένων.

β. δ.

α. Μηδὲ τινος τοῦ ἐν κόσμῳ χάριν, μηδὲ τῆς

βιβ: α. κεφ: ιε. στιγμὴ α. ἀρχ πγ. β Εκα: δι·
περὶ ἕνα τῶν ἀνθρώπων φιλίας ἕνεκεν
κακόν τι ποιητέον· ἀλλὰ μόνον εἰς τὸ ὠ-
φελεῖν τὸν ἐνδεῆ, τὸ καλὸν ἔργον ποτὲ
ἀδεῶς διαλειπτέον, ἢ εἰς βέλτιον μετα-
βλητέον. τούτου γὰρ γενομένου, τὸ καλὸν
ἔργον οὐκ ἀποσκευάζεται, ἀλλ' ἐπὶ βελ-
τίονι καταλλάττεται. Ἄνευ ἀγάπης πε-
~~πραγμένον~~, ~~ὁποσονοῦν~~ τὸ μὲν ἔργον
τὸ ἔξω οὐ λυσιτελεῖ· τὸ δ' ἐξ ἀγάπης πε-
πραγμένον ὁποσονοῦν μικρὸν καὶ κατα-
φρόνητον ἂν ᾖ, ὅλον χρήσιμον γίνεται·
περὶ πλείονος γὰρ ὁ θεὸς ποιεῖται τὴν
τοῦ πράττοντος προθυμίαν, ἢ τὸ τοῦ
ἔργου μέγεθος. Πολὺ πράττει, ὁ πολὺ
ἀγαπῶν.

---

β. Πολὺ πράττει, ὁ τὸ ἔργον καλῶς πράττων.
καλῶς πράττει, ὁ μᾶλλον τῇ τοῦ κοινοῦ ὠ-
φελείᾳ, ἢ τῇ βουλήσει αὐτοῦ δουλεύων.
πολλάκις ἀγάπη φαίνεται, καὶ μᾶλλόν ἐστι
πάθος σαρκικόν, ὅτι ἡ φυσικὴ ὁρμή, ἡ
βούλησις ἰδία, ἡ ἐλπὶς τῆς ἀμοιβῆς, καὶ ἡ
τοῦ συμφέροντος ἐπιθυμία σπανίως
ἀπεῖναι ἐθέλουσιν.

---

γ. Ὁ τὴν ἀληθῆ καὶ τελείαν ἀγάπην ἔχων,

Βιβ: α. κεφ: ιε. στιγμὴ γ. ἀρχ. πρ. β Εκατ: δ.

ἐν μηδενὶ πράγματι ἑαυτὸν ζητεῖ, ἀλ-
λὰ μόνον τὴν τοῦ θεοῦ δόξαν ἐν ἅπασι
γενέσθαι ἐπιθυμεῖ. Ἐπειδὲ μηδενὶ φθο-
νεῖ, ὅτι μηδεμίαν χαρὰν ἰδίαν φιλεῖ,
μηδὲν αὐτῷ χαίρειν ἐθέλει, ἀλλ᾽ ἐν τῷ
θεῷ ὑπὲρ πάντα ἀγαθὰ μακαρισθῆναι
εὔχεται. Μηδενὶ ἀγαθόν τι ἀνατίθησι
πάντων αἰτίαν εἰς τὸν θεὸν ἀναφέρων,
ἀφ᾽ οὗ, ὥσπερ ἐκ πηγῆς, πάντα ἔξεισιν,
ἐν ᾧ πάντες οἱ ἅγιοι τέλος δὲ ἀπολαυ-
στικῶς ἀναπαύονται. Εἴθε τις εἶχε τῆς
ἀληθοῦς ἀγάπης σπινθῆρα, ὄντως ἂν πάν-
τα τῆς γῆς πλήρη ματαιότητος ἐγίνω-
σκε.

---

Κεφ: ις.

Περὶ τῆς ὑπομονῆς ἐλλειμμάτων τῶν ἄλλων.

α. Ἅπερ ὁ ἄνθρωπος ἐν αὐτῷ, ἢ ἐν τοῖς
ἄλλοις κατορθῶσαι οὐ δύναται, ὀφείλει κα-
τρτερεῖν, ἕως ἂν ὁ θεὸς ἄλλως διατάξῃ.
Ἐννόει τοῦτο ὡς δὲ ἴσως εἰς τὴν δοκιμασί-
αν καὶ τὴν ὑπομονήν σου βέλτιον εἶναι,
ἄνευ ἧς αἱ ἀξίαι ἡμῶν οὐ πάνυ τίμιαι
εἰσιν. Ἀλλ᾽ ὅμως δεῖ σε οὕτως ἐμποδι-
σθέντα ἱκετεύειν, ὅπως ὁ θεὸς ἀξιώσῃ
βοηθεῖν σοι, καὶ δυνηθῇς ἀνεξικάκως φέρειν.

β. Εἴ τις ἅπαξ ἢ δὶς παραινεθεὶς ἀπειθεῖ, μὴ ἔριζε πρὸς αὐτόν· ἀλλ' ὅλον τῷ θεῷ ἐπίτρεπε, τοῦ γενέσθαι τὸ θέλημα καὶ τιμὴν αὐτοῦ ἐν ἅπασι δούλοις αὐτοῦ, ὃς ἀκριβῶς τὰ κακὰ εἰς καλὸν μεταστρέφειν ἐπίσταται. Σπούδαζε μακροθυμεῖν ἐν τῷ ἐλλείμματα καὶ ὁποιασοῦν ἀσθενείας τῶν ἄλλων ὑπομεῖναι, ὅτι καὶ σὺ πολλὰ ἔχεις, ἅπερ χρὴ τοὺς ἄλλους ἀνέχεσθαι. Εἰ μὴ οἷός τ' εἶ τοιοῦτον καταστῆσαι σεαυτόν, ὁποῖον βούλῃ, πῶς ἂν τὸν ἄλλον εὐάρεστόν σοι ἔχειν δυνηθῇς; Ἡδέως τοὺς ἄλλους τελείους ἔχοιμεν, ἀλλ' ὅμως τὰ ἴδια σφάλματα οὐ κατορθοῦμεν.

---

γ. Τοὺς ἄλλους ἀκριβῶς εὐθύνεσθαι ἐθέλομεν, ἡμεῖς δ' εὐθυνόμενοι οὐκ ἀνεχόμεθα. πολλὴ προνομία τῶν ἄλλων ἡμῖν ἀπαρέσκει. ἡμεῖς δὲ πάντων τῶν αἰτηθέντων ἐπιτυγχάνειν βουλόμεθα. Τοὺς ἄλλους τοῖς νόμοις διασφίγγεσθαι ποθοῦμεν, αὐτοὶ δὲ τὴν ἐπίσχεσιν οὐκ ἔτι πως ὑπομένοντες. οὕτω δῆλόν ἐστιν, ὡς σπανίως τὸν πλησίον, καθάπερ ἡμᾶς τιμῶμεν. Εἰ πάντες τέλειοι ἦσαν, τί τοτ' ἂν διὰ τὸν θεὸν ὑπ' ἄλλων

παθεῖν ἔχομεν;

δ΄. Νῦν δ' ὁ θεὸς τοῦτον τρόπον διέταξεν,
ἵν' ἀλλήλων τὰ βάρη βαστάζειν μανθά-
νομεν, ὅτι οὐδεὶς ἀνελλιπής, οὐδεὶς ἄφορ-
τος, οὐδεὶς αὐτάρκης αὑτῷ, οὐδεὶς ἱκανῶς
αὑτῷ φρόνιμός ἐστιν· ἀλλὰ δεῖ ἡμᾶς
ἀλλήλους βαστάζειν, ἀλλήλους παρακαλεῖν,
ἀλλήλους βοηθεῖν, παιδεύειν, καὶ παραιν-
εῖν. Ὁπόσος δ' ἂν τὴν ἀρετὴν ᾖ ἕκαστος,
τῷ τῆς συμφορᾶς χρόνῳ μᾶλλον δηλοῦ-
ται. Αἱ γὰρ ἀφορμαὶ τὸν μὲν ἄνθρωπον
οὐκ ἀπεργάζονται ἀσθενῆ, ὁ ποῖος δ' ἂν
ᾖ φανεροῦσι.

## Κεφ: ιζ.

### Περὶ τοῦ μοναστικοῦ βίου.

α΄. Ἀναγκαῖόν ἐστι μανθάνειν σε ἐν πολλοῖς
σεαυτὸν κατάγνυναι, ἐὰν θέλῃς εἰρήνην
καὶ ὁμόνοιαν μετ' ἄλλων τηρῆσαι. οὐ μι-
κρόν ἐστι ἐν μοναστηρίοις, ἢ ἐν συλλόγῳ οἰ-
κεῖν, καὶ ἐκεῖ ἀμέμπτως διάγειν, καὶ ἕως
τῆς τελευτῆς πιστὸν διαμένειν. μακάριος
ὁ ἐκεῖ καλῶς βεβιωκὼς καὶ εὖ τελευτήσας.
εἰ θέλεις καλῶς ἑστάναι καὶ προκόπτειν, σε-
αυτὸν ὡς φυγάδα καὶ περιπίδημον πά-
ρεχε ἐπὶ τῆς γῆς. Χρὴ μωρόν σε διὰ
Χριστὸν γενέσθαι, εἰ θεοσεβῆ βίον διάγειν βούλῃ

β. Τὸ μὲν σχῆμα καὶ ἡ κουρὰ μικρὸν συμφέρει, ἡ δὲ τῶν ἠθῶν μεταβολὴ, καὶ ὅλη νέκρωσις τῶν παθῶν, ἀληθῆ ἀσκητὴν ἀπεργάζεται. Ὁ ἄλλο τι ἢ εἰλικρινῶς τὸν θεὸν, καὶ τὴν τῆς ψυχῆς αὐτοῦ σωτηρίαν ζητῶν, οὐχ εὑρήσει εἰ μὴ θλῖψιν καὶ ὀδύνην. καὶ οὐ δύναται πολὺν χρόνον εἰρηνεύειν, ὁ μὴ σπουδάζων εἶναι ἐλάχιστος, καὶ πᾶσιν ὑποταχθείς.

---

γ. Τοῦ διακονεῖν ἦλθες, οὐ τοῦ ἐπιστατεῖν· γίνωσκε ὅτι εἰς τὸ πάσχειν ἀλλὰ καὶ πονεῖν, ἀλλ' οὐκ εἰς ἀργεῖν καὶ μυθεύεσθαι ἐκλήθης. Ἐνθάδε οὖν οἱ ἄνθρωποι, ὡς χρυσὸς ἐν χωνευτηρίῳ, δοκιμάζονται. Ἐνθάδε οὐδεὶς οἷός τ' ἐστὶ διαμεῖναι, πλὴν ὁ ἐξ ὅλης καρδίας ἑαυτὸν διὰ τὸν θεὸν ταπεινῶσαι βουλόμενος.

---

## Κεφ: ιη.

## Περὶ τῶν παραδειγμάτων τῶν ἁγίων πατέρων.

α. Εἰς τὰ τῶν ἁγίων πατέρων παραδείγματα ζωὰ ἀπόβλεψον, ἐν οἷς ἀληθὴς τελειότης καὶ θεοσέβεια ἔλαμψε, καὶ γνώσῃ, ὡς μικρὸν καὶ σχεδὸν οὐδὲν ὃ ἡμεῖς πράττομεν. Φεῦ, τί ἐστιν ὁ βίος ἡμῶν πρὸς αὐτοὺς παραβλη-

θεάς; οἱ ἅγιοι καὶ φιλόχριστοι τῷ κυρίῳ ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις καὶ νηστείαις, ἐν προσευχαῖς καὶ ἁγίαις μελέταις, ἐν διωγμοῖς καὶ ὀνείδεσι πολλοῖς ἐδούλευσαν.

β. Ὡς πολλὰς καὶ δεινὰς θλίψεις ἔπαθον οἱ Ἀπόστολοι, οἱ μάρτυρες, οἱ ὁμολογηταί, αἱ παρθένοι, καὶ ἄλλοι πάντες, οἱ τοῖς τοῦ Χριστοῦ ἴχνεσιν ἀκολουθῆσαι ἠθέλησαν; τὰς γὰρ ψυχὰς αὐτῶν ἐν τῷδε τῷ κόσμῳ ἐμίσησαν, τοῦ αὐτὰς ἐν τῇ ζωῇ αἰωνίῳ κτήσασθαι. ὡς αὐστηρὸν καὶ ἐνδεῆ βίον ἐν τῇ ἐρήμῳ οἱ ἅγιοι πατέρες διῆγον; ὡς πολυχρονίους καὶ χαλεποὺς πειρασμοὺς ὑπέμειναν; ὡς συχνῶς ὑπὸ τοῦ ἐχθροῦ ἐκακώθησαν; ὡς συχνὰς καὶ ζεστὰς δεήσεις τῷ θεῷ προσήνεγκον; ὡς δεινὰς ἐγκρατείας καθ' ἑκάστην συνετέλεσαν; ὡς μέγαν ζῆλον καὶ ζέσιν τῆς πνευματικῆς προκοπῆς εἶχον; ὡς βαρὺν πόλεμον τοῦ νικᾶν τὰς κακίας ἐποίησαν; ὡς καθαρὰν καὶ ὀρθὴν προαίρεσιν πρὸς τὸν θεὸν ἐτήρησαν; μεθ' ἡμέραν ἐπόνουν, τὴν δὲ νύκτα ταῖς προσευχαῖς διηνεκέσιν ἐσχόλαζον, καίπερ ἐν τῷ πονεῖν τῇ εὐχῇ τῇ νοερᾷ.

βιβ. α. κεφ. ιη. στιχ. β. α. Χρν. β. ἑκατομ. δ-
ιηδαιμῶς ἀναπαυόμενοι.

---

γ. Πάντα χρόνον χρησίμως διέτει-
ρον, πᾶσα ἡ ὥρα εἰς τὸ τῷ θεῷ σχο-
λάζειν βραχεῖα ἐδόκει, καὶ ὑπὸ μεγέθ-
ους ἡδύτητος τῆς θεωρίας καὶ τῆς ἀναγ-
καίας βρώσεως τῆς σωματικῆς ἐπε-
λανθάνοντο· παντὶ πλούτῳ, ἀξίαις, τι-
μαῖς, φίλοις, καὶ συγγενέσιν ἀπετάττον-
το, καὶ μηδὲν τῶν τοῦ κόσμου ἔχειν ἤ-
θελον, μόλις τὰ τοῦ βίου ἀναγκαῖα λα-
βόντες· ἐπὶ τῷ δουλεύειν τῷ σώμα-
τι καὶ ἀναγκασθέντες ἤχθοντο· πτωχοὶ
μὲν ὄν τῷ πνεύματι, τῇ δὲ χάριτι
καὶ ταῖς ἀρεταῖς πολὺ πλούσιοι ἐγίν-
οντο. ἔξω ἠπόρουν, εἴσω δὲ χάριτι,
καὶ παρακλήσει τοῦ θεοῦ ἀνεπαύοντο.

---

δ. Τοῦ κόσμου ἀλλότριοι, ἀλλὰ τῷ θεῷ
ἐγγύτατοι καὶ οἰκεῖοι ἦσαν. ἑαυτοὺς μὲν
οὐδὲν εἶναι καὶ τῷ κόσμῳ καταφρόνη-
τοι ἐδόκουν, ἐνώπιον δὲ τοῦ θεοῦ τί-
μιοι καὶ ἀγαπητοὶ ἐγίνοντο. Ἐν ἀλη-
θεῖ ταπεινότητι διῆγον, ἐν ἁπλῇ ὑπα-
κοῇ ἔζων, ἐν ἀγάπῃ καὶ ὑπομονῇ περι-
επάτουν, καὶ διὰ ταῦτα καθ᾽ ἑκάστην ἐν
πνεύματι προέκοπτον, καὶ παρὰ τῷ θεῷ

τῆς μεγάλης χάριτος ἐπετύγχανον. Εἰς παράδειγμα πᾶσιν ἀσκηταῖς ἐδόθησαν, καὶ διὰ τούτους μᾶλλον δεῖ ἡμᾶς παροξύνεσθαι ἐπὶ τὸ καλῶς ἐπιδοῦναι, ἢ διὰ τὸν ἀριθμὸν τῶν χλιαρῶν ἐπὶ τὸ χαλᾶν.

---

ε. Ὢ πόση ζέσις πάντων ἀσκητῶν ἐν τῇ ἀρχῇ τοῦ ἁγίου ἐπιτηδεύματος αὐτῶν γέγονεν; ὢ πόση εὐσέβεια τῆς προσευχῆς; πόσος ζῆλος τῶν ἀρετῶν; πόση παιδεύσις ἤκμασε; πόση αἴδεσις καὶ ὑπακοὴ ὑπὸ κανόνι τοῦ διδασκάλου ἐν πᾶσιν ἐπήνθησεν; ἔτι καὶ ~~νῦν~~ νῦν τὰ ἴχνη καταλειφθέντα μαρτυρεῖ, ὡς ἄνδρες ἅγιοι καὶ τέλειοι ἐγένοντο, οἵτινες οὕτω γενναίως πολεμήσαντες τὸν κόσμον ὑφ' ἑαυτοὺς ἐποιήσαντο. ἐν δὲ τῷ παρόντι μέγας νομίζεται, εἴτις τοὺς νόμους οὐ παραβαίνει, εἴτις, ὅπερ ἔλαβε, ὑπομονητικῶς βαστάζειν δύναται.

---

ϛ. Ὢ τῆς χλιαρότητος καὶ ῥαθυμίας τῆς καταστάσεως ἡμῶν, ἀνθ' ὧν οὕτω ταχέως ἀπὸ παλαιᾶς ζέσεως ἐκκλίνομεν. καὶ νῦν ὑπὸ κόπου καὶ χλιαρότητος, τὸ ζῆν δοστικὸν ἡγούμεθα. Εἴθε ἡ τῶν ἀρετῶν ἐπίδοσις ἐν σοὶ οὐ παντελῶς ἐκάθευδεν, ὃς πολλὰ τῶν εὐσεβέων παραδείγματα πλεονάκις ἔβλεψας.

---

## Κεφ: ιθ.

### Περὶ τῶν γυμνάσεων τοῦ ἀγαθοῦ ἀσκητοῦ.

ά. Τὸν βίον τοῦ καλοῦ ἀσκητοῦ δεῖ πάσαις
ἀρεταῖς λαμπρύνεσθαι, ὡς εἴσω τοιοῦτον
εἶναι, οἷος ἔξω τοῖς ἀνθρώποις φαίνεται.
Καὶ εἰκότως εἴσω πλέον τοῦ ἔξω φαι-
νομένου εἶναι προσήκει, ὅτι ἐπόπτης ἡ-
μῶν θεός ἐστιν, ὃν χρὴ ἡμᾶς ὅπου ἂν ὦ-
μεν, ὡς μάλιστα σέβεσθαι, καὶ τῶν ἀγγέλων
καθαρῶν δίκην, ἐνώπιον αὐτοῦ περι-
πατεῖν. Καθ' ἑκάστην τὴν προαίρεσιν
ἡμῶν ἀνανεοῦν ὀφείλομεν, καὶ ἡμᾶς ὡς
σήμερον πρῶτον ἐπιστραφέντας, πρὸς
τὴν ζέσιν παροξύνειν, καὶ λέγειν. βοήθει
μοι κύριε θεὲ, ἐν τῇ καλῇ προθέσει,
καὶ τῇ ἁγίᾳ δουλείᾳ σου, καὶ παράσχου μοι
νυνὶ σήμερον τελείως ἄρξασθαι, ὅτι τὸ
πραχθέν μοι μέχρι τοῦδε, μηδέν ἐστιν.

---

β. Κατὰ τὴν προαίρεσιν ἡμῶν ὁ δρό-
μος τῆς ἐπιδόσεως ἡμῶν ὑπάρχει, καὶ
πολλὴ ἐπιμέλεια ἀναγκαία ἐστὶ τῷ κα-
λῶς ἐπιδοῦναι ἐθέλοντι. Εἰ δὲ βέβαιος
τε προελόμενος, πολλάκις ἐπιλείπει,
τί ἂν σπανίως ἢ ἧττον στερεῶς προ-

κιρξάμενος ποιήσῃ; Ἀλλὰ μὴν ἡ τῆς προαιρέσεως ἡμῶν ἀπόλειψις πολυτρόπως συμβαίνει, καὶ ἡ κούφη παράλειψις τῶν ἀσκήσεων μόλις ἀβλαβῶς γενέσθαι ἔοικεν. Ἡ τῶν δικαίων προαίρεσις ἐν τῇ τοῦ θεοῦ χάριτι μᾶλλον, ἢ ἐν τῇ ἰδίᾳ σοφίᾳ κρέμαται, ἐν ᾧ ἀεὶ πεποίθασιν, ὅ,τι ἂν ἄρξωνται. ὁ γὰρ ἄνθρωπος προτίθεται, ὁ δὲ θεὸς διατίθεται, καὶ οὐκ ἐν ἀνθρώπῳ ἐστὶν ὁ βίος αὐτοῦ.

---

γ'. Ἐὰν δι' εὐσπλαγχνίαν, ἢ δι' ὠφέλειαν τοῦ ἀδελφοῦ τὸ εἰθισμένον ἄσκημά ποτε παραλείπεται, ῥᾳδίως ὕστερον πάλιν ἀναλαμβάνεσθαι δυνήσεται. εἰ δὲ δι' ἀηδίαν ἢ ἀμέλειαν τῆς ψυχῆς ῥᾳδίως ἀφίεται, ἐπίμεμπτον ἐστι, καὶ βλαβερὸν γνωρισθήσεται. ὅπως σπουδάζωμεν καθ' ὅσον δυνάμεθα, ἔτι ἐν πολλοῖς ῥᾳδίως ἀπολείψομεν. ἀλλ' ὅμως ἀεὶ χρὴ βεβαιόν τι προθεῖναι, μάλιστα δὲ κατὰ τῶν ἡμᾶς ἐπὶ πλέον ἐμποδιζόντων. τὰ ἔξω, καὶ εἴσω ἡμῶν ἅμα ἐξετάζειν καὶ διατάττειν ἐπάναγκες ἡμῖν ἐστι, ὅτι ἀμφότερον τῇ προκοπῇ συμφέρει.

---

δ. Εἰ συνεχῶς συλλέγειν σε οὐκ ἔξεστι, ἐνίοτε γοῦν, καὶ τοὐλάχιστον ἅπαξ καθ' ἡμέραν, πρωῒ δήπου καὶ ἑσπέρας. πρωῒ πρόθες, ἑσπέρας δὲ τὰ ἤθη σου ἐξέτασον, ὁποῖος ἂν σήμερον γένῃ τῷ λόγῳ, τῷ ἔργῳ, καὶ τῇ διανοίᾳ, ὅτι τούτοις ἴσως τῷ θεῷ, καὶ τῷ πλησίον προσέκρουσας. Ζῶσαι, ὥσπερ ἀνὴρ, τὴν ὀσφύν σου, κατὰ τῶν τοῦ διαβόλου πονηριῶν· χαλιναγώγει γαστριμαργίαν, καὶ πᾶσαν τὴν προπέτειαν τῆς σαρκὸς ῥᾷον χαλιναγωγήσεις. Μηδέποτε ἀργεῖ παντελῶς, ἀλλ' ἢ ἀναγίνωσκε, ἢ γράφε, ἢ προσεύχου, ἢ μελέτα, ἢ ἄλλο τι χρήσιμον ὑπὲρ τοῦ κοινοῦ ἐργάζου. Ἀλλὰ μὴν τοῖς τοῦ σώματος ἀσκήμασιν οὐ δεῖ ἀκριτὶ προσδέχεσθαι, ἢ πάντας αὐτὰ ἐξ ἴσου παραλαμβάνειν.

---

δ. ε.

ε. Τὰ οὐ κοινὰ ὄντα οὐκ ἔξω ἀποδεικτέον, ὅτι τὰ ἴδια ἐν κρύπτῳ ἀσφαλέστερον ἀσκεῖται· εὐλαβοῦ δὲ πρὸς τὰ κοινὰ ῥαθυμεῖν, καὶ πρὸς τὰ ἴδια προχείρως ἔχειν· ἀλλὰ τὰ ὀφειλόμενα καὶ ἐπιτετ-

θέντα τελείως καὶ πιστῶς περάνας, εἴ τι
σοι χρεία ὑπάρχει, γίνου σεαυτοῦ, καθά-
περ ἡ εὐσέβειά σου ~~χρήζει~~ ποθεῖ. οὐ δύ-
νανται πάντες τῇ αὐτῇ ἀσκήσει χρῆσθαι,
ἀλλὰ τῷ μὲν αὕτη, τῷ δ' ἄλλη ἁρμόττει.
προσέτι κατὰ τὸν τοῦ χρόνου λόγον διά-
φοροι ἀσκήσεις ἁρμόζουσιν, ὅτι αἱ μὲν
ἐν ταῖς ἑορτασίμοις, αἱ δ' ἐν ταῖς ἐργα-
σίμοις ἐπιτρεπεῖς εἰσιν. Ἄλλων ἐν και-
ρῷ πειρασμοῦ, ἄλλων ἐν καιρῷ εἰρήνης
καὶ ἡσυχίας δεομένων. ἄλλα τοῖς λυπου-
μένοις, ἄλλα τοῖς ἐν κυρίῳ χαίρουσι, δι-
ανοῆσαι δῆλον ἐστί.

---

5. Περὶ τὰς μεγάλας ἑορτὰς χρὴ τὰ κα-
λὰ ἀσκήματα ἀνανεοῦσθαι, καὶ τὰς τῶν ἁγίων
ἐντεύξεις ἀκριβέστερον ἐπικαλεῖσθαι. ἐξ ἑορτῆς
εἰς ~~ἑορτὴν~~ ἑορτὴν προέρχεσθαι ὀφείλομεν,
ὡς τότε ἐκ τούτου αἰῶνος ἀποικήσαντες, καὶ
εἰς τὴν ἑορτὴν τὴν αἰώνιον ἀφιξόμενοι.
Καὶ διὰ ταῦτα ἐπὶ τῶν χρόνων εὐσεβέ-
ων ὀφείλομεν ἡμᾶς ἐπιμελῶς ἑτοιμά-
ζειν, καὶ εὐλαβέστερον διάγειν, καὶ πάντας
κανόνας σπουδαιότερον διατηρεῖν, ὡς ἐν
βραχεῖ τὸ ἄθλον τοῦ πόνου ἡμῶν παρὰ
τοῦ θεοῦ ληψόμενοι.

---

βιβ: α. κεφ: ιθ. στιγμὴ ζ. αχπγ. ς. Ἑκα: ς.

ζ. Καὶ ἐὰν ἀναβληθῇ, νομίζωμεν ἡμᾶς ἧττον καλῶς ἑτοιμασθῆναι, καὶ ἀναξίους τοσαύτης δόξης ἔτι γενέσθαι, ἣ ἐν ἡμῶν τῷ καιρῷ ὡρισμένῳ ἀποκαλυφθήσεται· καὶ σπουδάζωμεν ἡμᾶς βέλτιον ἐπὶ τὴν τελευτὴν παρασκευάσασθαι. Μακάριος ὁ δοῦλος (ὡς λέγει ὁ Εὐαγγελιστὴς Λουκᾶς) ὃν ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντα. Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

---

## Κεφ: κ.

**Περὶ τοῦ φιλεῖν τὴν ἐρημίαν καὶ τὴν σιγήν.**

α. Ζήτει καιρὸν εὔκαιρον τοῦ σχολάζειν σεαυτῷ, καὶ τὰ τοῦ θεοῦ εὐεργετήματα συχνῶς ἐνθυμοῦ. Ἄφες τὰ περίεργα. τοιαύτας ὑποθέσεις ἀνάγνωθι, αἳ μᾶλλον τὴν σύνυξιν, ἢ τὴν ἀσχολίαν παρέχουσιν. Ἐν τῷ ὑπεξάγειν σεαυτὸν τῶν περιττῶν συνομιλιῶν, καὶ ἀργῶν περιδρομιῶν, ἔτι δὲ καὶ τοῦ ἀκοῦσαι τὰς καινότητας καὶ φήμας, εὑρήσεις διαρκῆ καὶ ἐπιτήδειον χρόνον τοῦ σχολάζειν ταῖς ἀγαθαῖς μελέταις. Οἱ τῶν ἁγίων μέγιστοι ὁπότε ἠδυνήθησαν, τὰς πρὸς

ἀνθρώπων συνουσίας ἔφυγον, καὶ ἐν
κρυπτῷ ζῆσαι τῷ θεῷ προείλοντο.

β. Ἔφη τις· ὁποσάκις ἐν τοῖς ἀνθρώποις πα-
ρεγενόμην, ἐλάττων ἄνθρωπος ἀνεχώρησα.
Τοῦτο πολλάκις, πολὺν χρόνον συνομιλή-
σαντες, πεῖραν λαμβάνομεν. Ῥᾷον ἐστὶ
παντελῶς σιωπᾶν, ἢ ἐν λόγῳ οὐ πταίειν.
Ῥᾷον οἴκοι κατακρύπτεσθαι, ἢ ἔξω ἑαυτὸν
ἀρκούντως διαφυλάττειν. Τὸν οὖν εἰς τὰ
εἴσω καὶ πνευματικὰ ἀφικέσθαι ἐπιχειροῦν-
τα, δεῖ μετὰ τοῦ Ἰησοῦ ἐκνεῦσαι ὄχλου.
Οὐδεὶς ἀσφαλῶς φαίνεται, ἢ μὴ ὁ ἀσμέ-
νως λανθάνων. Οὐδεὶς ἀσφαλῶς λαλεῖ, εἰ
μὴ ὁ ἀσμένως σιγῶν. Οὐδεὶς ἀσφαλῶς
ἄρχει, εἰ μὴ ὁ ἀσμένως ἀρχόμενος.
Οὐδεὶς ἀσφαλῶς προστάττει, εἰ μὴ ὁ πειθ-
αρχεῖν καλῶς καταμαθών.

γ. Οὐδεὶς ἀσφαλῶς χαίρει, εἰ μὴ ὁ ἐν ἑαυ-
τῷ τὴν τῆς καλῆς συνειδήσεως μαρτυρί-
αν ἔχων. Ἀλλ' οὖν ἡ τῶν ἁγίων ἀσφάλεια
ἀεὶ πλήρης τοῦ φόβου τοῦ θεοῦ ἐγένετο.
Καὶ τοὔνεκα οὐχ ἧττον εὐλαβεῖς καὶ πρὸς ἑαυ-
τοὺς ταπεινοὶ ἐγένοντο, ὅτι διὰ μεγά-
λας ἀρετὰς καὶ χάριν ἐξέλαμψαν. Ἡ δὲ
τῶν κακῶν ἀσφάλεια ἐκ τῆς ὑπερη-

βιβ: ά. κεφ: κ. σιγμὴ ν. α. χπγ. φόλ Σκ: ς.

φανίας καὶ τῆς προλήψεως πέφυκε, τὸ τελευταῖον εἰς τὴν ἀπάτην αὐτῶν μεταβάλλουσα. μηδέποτε σεαυτῷ τὴν ἀσφάλειαν ἐν τῇδε ζωῇ ὑπισχνοῦ, καίπερ καλοκἀγαθὸς κοινόβιος, ἢ ἐρημίτης εὐσεβὴς σοι δοκῶν.

---

δ. Πολλάκις οἱ παρ' ἀνθρώποις μᾶλλον εὐδόκιμοι διὰ τῶν αὐτῶν πεποίθησιν τὴν ἄγαν, δεινότερον ἐκινδύνευσαν. Διὸ πολλοῖς χρησιμώτερόν ἐστι, μὴ τῶν πειρασμῶν παντελῶς ἀπαλλαχθῆναι, ἀλλὰ πλεονάκις πολεμεῖσθαι, τοῦ μὴ ἄγαν αὐτοὺς ἀσφαλεῖς εἶναι, μήποτε μετεωρισθῶσιν, ἢ εἰς παραμυθίας τὰς ἔξω τολμηρότερον τραπῶσιν. ὁ μηδέποτε τὴν εὐφροσύνην ὀλιγοχρόνιον ζητῶν, μηδὲ περὶ τὸν κόσμον ἀσχολούμενος, ὡς καλὴν συνείδησιν ἂν διαφυλάττειν; ὁ πᾶσαν μέριμναν ματαίαν ἀναιρῶν, καὶ μόνον τὰ τῆς σωτηρίας, καὶ τοῦ θεοῦ διανοῶν, καὶ ὅλην τὴν ἐλπίδα αὐτοῦ ἐν τῷ θεῷ ἔχων, ὡς πολλῆς εἰρήνης ~~καὶ~~ καὶ ἡσυχίας ἐτύγχανεν;

---

ε. Οὐδεὶς τῆς παρακλήσεως τῆς οὐρα-

νος ἄξιός ἐστι, πλὴν ὁ ἐν τῇ ἁγίᾳ κατα-
νύξει ἑαυτὸν μετὰ σπουδῆς ἀσκήσας.
Εἰ θέλεις τὴν καρδίαν κατανυχθῆναι,
εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ ἔκκλει-
σον τοὺς τοῦ κόσμου θορύβους, καθὼς
γέγραπται· Ἐπὶ ταῖς κοίταις ὑμῶν
κατανύγητε. ἐν τῷ κελλίῳ εὑρήσεις,
ὅπερ ἔξω πολλάκις ἀπολέσεις. τὸ μὲν
κελλίον θαμινὰ οἰκηθὲν γλυκάζει, κα-
κῶς δὲ φυλαχθὲν λυπεῖ. Ἐὰν ἐν ἀρχῇ
τῆς ἐπιστροφῆς σου καλῶς οἰκήσῃς, καὶ
φυλάξῃς αὐτό, ἔσται σοι ὕστερον φίλ-
τατον καὶ χαριέστατον.

---

5. Ἐν σιγῇ καὶ ἡσυχίᾳ ἡ εὐλαβὴς ψυχὴ προ-
κόπτει, καὶ τὰ τῶν γραφῶν κρύφια μαν-
θάνει. Ἐκεῖ εὑρίσκει τὰ ῥεῖθρα τῶν
δακρύων, οἷς ἂν καθ᾽ ἑκάστην νύκτα
λούσῃ καὶ καθαρίσῃ· τοῦ τῷ κτίστῃ αὐτῆς
τοσούτῳ οἰκειοτέραν γενέσθαι, ὅσῳ πορ-
ρωτέρω παντὸς θορύβου κοσμικοῦ ἐστι.
τῷ μὲν οὖν τῶν γνωστῶν καὶ φίλων ἑαυ-
τὸν χωρίζοντι ὁ θεὸς σὺν τοῖς ἀγγέλοις
ἁγίοις αὐτοῦ πλησιάσει. βέλτιόν ἐστι λαν-
θάνειν καὶ αὐτοῦ ἐπιμελεῖσθαι, ἢ αὐτοῦ
ἀμελοῦντα, σημεῖα ποιεῖν. τῷ δὲ
σσερεὶ ἀνδρὶ ἐπαινετόν ἐστι σπανίως
ἔξω ἰέναι, φεύγειν τὸ φαίνεσθαι, καὶ
μὴ βούλεσθαι τοὺς ἀνθρώπους ὁρᾶν.

βιβ: α, κεφ: κ. στιχ: ζ. αχπγ, ε Σεπ: ζ.

ζ. Τί θέλεις βλέπειν, ὅ τι ἔχειν οὐκ ἔξεστιν; Αἱ μὲν ποθήσεις αἰσθητικαὶ εἰς τὸ περιπατῆσαι ἕλκουσι, τῆς δ' ὥρας παρελθούσης, τί ἄλλο ἢ τὸ τῆς συνειδήσεως βάρος καὶ τὸν τῆς καρδίας διασπασμὸν ἀνακομίζεις; ἡ φαιδρὰ ἔξοδος, τὴν λυπηρὰν ἐπάνοδον πολλάκις παρέχει, καὶ ἡ ἱλαρὰ φυλακὴ τῆς ὀψίας, συνεχῶς ὄρθρον ποιεῖ. οὕτω πᾶσα χαρὰ σαρκικὴ μειλιχίως εἰσέρχεται, ἐν τέλει δὲ δάκνει καὶ καθαιρεῖ. τί δύνῃ ἄλλο τι βλέπειν ὅτι ἐνταῦθα οὐ βλέπεις; ἰδοὺ ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πάντα στοιχεῖα· πάντα γὰρ ἐκ τούτων ἐγένοντο.

---

η. Τί οἴει ὅτι ἀλλαχοῦ βλέπειν, ὃ πολὺν χρόνον ὑπὸ τοῦ ἡλίου διαμένειν δύναται; πιστεύεις ἴσως τοῦ κορέσαι, ἀλλ' οὐ δυνήσῃ ἐφικέσθαι. εἰ πάντα τὰ παρόντα ἔβλεπες, τί ἦν ἄν, εἰ μὴ ὅρασις ματαία; Ἆρον τοὺς ὀφθαλμούς σου πρὸς τὸν θεὸν τὸν ἐν ὑψίστοις, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν καὶ ἀμελειῶν σου πρόσευξαι. Ἄφες τὰ

μάταια τοῖς ματαίοις, σὺ δὲ, τὸν νοῦν
προσεχε τοῖς ὑπὸ τοῦ θεοῦ σοι ἐπιταχ-
θεῖσιν. Ἀπόκλεισον τὴν θύραν ἐπὶ σὲ,
καὶ τὸν Ἰησοῦν τὸν ἀγαπητόν σου πρός σε κάλε-
σον. παράμεινον αὐτῷ ἐν τῷ κελλίῳ,
ὅτι ἄλλοθι τοιαύτην εἰρήνην οὐχ εὑρή-
σεις. Εἰ οὐκ ἐξῆλθες, καὶ μηδὲν περὶ τῶν
φημιῶν ἤκουσας, ἄμεινον ἂν ἐν τῇ εἰρ-
ήνῃ ἔμεινας. ἐπεὶ δέ ποτε τῷ ἀκοῦσαι
τὰ καινὰ ἐδήδη, διὰ ταῦτα χρή σε
τὸν τῆς καρδίας ταραγμὸν ὑπομένειν.

---

## Κεφ: κά.

**Περὶ τῆς κατανύξεως τῆς καρδίας.**

ά. Εἰ θέλεις προκόπτειν, ἐν τῷ τοῦ θεοῦ
φόβῳ σεαυτὸν διαφύλαττε, καὶ μὴ γίνου
ἄγαν ἀδεής, ἀλλ' ἐν τῇ παιδεύσει ἐπέ-
χε πάσας τὰς αἰσθήσεις σου, καὶ ἀτόπως
μὴ χαίρε. τῇ τῆς καρδίας κατανύξει
σπούδαζε, καὶ τὴν θεοσέβειαν εὑρήσεις.
Η κατάνυξις πολλὰ ἀγαθὰ ἀνοίγει, ἅ-
τινα ἡ ἄνεσις ταχέως ἀπολέσαι εἴωθε.
θαυμάζειν ἄξιον, ὅτι ἄνθρωπος, ὁ τὴν
φυγαδείαν αὐτοῦ, καὶ τηλικούτους κινδύ-
νους τῆς ψυχῆς αὐτοῦ σκοπῶν καὶ λογιζό-
μενος, ἐν ταύτῃ ζωῇ τελείως ποτὲ
χαίρειν δύναται.

βιβ: α. κεφ: κα. στιγμὴ β. αχπγ. 5 ξια

β. Διὰ τὴν τῆς καρδίας κουφότητα καὶ ἀμέλειαν τῶν ἐλλειμμάτων ἡμῶν, τῶν ὀδυνῶν τῆς ψυχῆς ἡμῶν οὐκ αἰσθανόμεθα, ἀλλὰ πολλάκις ματαίως γελῶμεν, ὅτε ἂν εἰκότως κλαίειν ὀφείλομεν. οὐκ ἔστιν ἐλευθερία ἀληθής, οὐδὲ καλὴ χαρὰ, εἰ μὴ ἐν τῷ φόβῳ τοῦ θεοῦ σὺν ἀγαθῇ συνειδήσει. μακάριος, ὃς πᾶν ἐμπόδισμα τοῦ διασπασμοῦ ἀπορρίπτειν, καὶ εἰς τὴν τῆς ἁγίας κατανύξεως ἑνότητα ἑαυτὸν ἀναλαμβάνειν δύναται· μακάριος, ὃς οἷός ἐστι χωρίσαι ἀφ' αὐτοῦ, ὅ,τι τὴν συνείδησιν αὐτοῦ μιαίνειν, ἢ βαρύνειν δύναται. Ἀγωνίζου ἀνδρείως. τὸ ἔθος τῷ ἔθει νικᾶται. εἰ σὺ ἐπίστασαι τοὺς ἀνθρώπους ἀφιέναι, αὐτοὶ δὴ τὰ σὰ πράττειν σε ἐάσουσι.

---

γ. Μὴ η. γ.
ἀλλοτριοπράγει, μηδ' ἐμπλέκου εἰς τὰ τῶν προτευόντων· σεαυτοῦ ἐπισκέπτου πρῶτον, καὶ πρὸ πάντων φίλων σου μάλιστα σεαυτὸν ἰδικῶς παραίνει. εἰ ὑστερεῖς τῆς τῶν ἀνθρώπων εὐ-

νοίας, μὴ λύπης, ἀλλὰ τόδε μᾶλλον σοι γενέσθω, ὅτι οὐ καλῶς καὶ περιεσκεμμένως ἔχεις, ὡς προσῆκον ἂν ᾖ τὸν τοῦ θεοῦ δοῦλον καὶ εὐσεβῆ ἀσκητὴν διάγειν. Πολλάκις χρησιμώτερον καὶ ἀσφαλέστερόν ἐστι, τὸν ἄνθρωπον ἐν τῇδε ζωῇ πολλῶν παρακλήσεων, μάλιστα δὲ τῶν κατὰ σάρκα οὐκ εὐπορεῖν. τοῦ μέντοι ἡμᾶς θείας παρακλήσεις οὐκ ἔχειν, ἢ δ᾽ αὐτῶν σπανίως αἰσθέσθαι, τὸ αἴτιον ἐν ἡμῖν ἐστιν, ὅτι τὴν κατάνυξιν τῆς καρδίας οὐ ζητοῦμεν, οὔτε τὰς ματαίας καὶ τὰς ἔξω παρακλήσεις πάντως ἀποβάλλομεν.

---

δ. Γνῶθι ἀνάξιόν σε τῆς θείας παρακλήσεως, μᾶλλον δὲ πολλῆς θλίψεως ἄξιον. τῷ ἀνθρώπῳ τελείως κατανυγέντι, ὅλος ὁ κόσμος φορτικὸς καὶ πικρός ἐστιν. ὁ ἀγαθὸς ἄνθρωπος ἱκανὴν τοῦ λυπεῖσθαι καὶ τοῦ κλαίειν ὑπόθεσιν εὑρίσκει. ἐάν τε γὰρ ἑαυτὸν σκοπεῖ, ἐάν τε τὸν πλησίον λογίζεται, γινώσκει ὅτι οὐδεὶς ἀθλίπτως ἐνταῦθα ζῇ. καὶ ὅσῳ ἀκριβέστερον ἑαυτὸν σκέπτεται, τοσούτῳ μᾶλλον λυπεῖται. Αἱ ὑποθέσεις ἱκανῆς

βιβ. ά. κεφ. κά. ϛιγμὴ δ. αχπγ. θ. Ἐκ δ-
λύπης καὶ κατανύξεως τῆς ἔσω, τὰ ἁμαρ-
τήματα, καὶ κακίαι ἡμῶν εἰσιν, αἷς οὕ-
τως ἐνεπλέχθημεν, ἵνα σπανίως τὰ
οὐράνια σκοπεῖν δυνηθῶμεν.

---

ε. **Εἰ** πλεονάκις τὸν θάνατον, ἢ τὴν μα-
κροβιότητά σου ἐνεθυμοῦ, οὐκ ἄδηλον
ὅτι σπουδαιότερον ἂν σε κατώρθους.
Προσέτι μὲν ταῖς τοῦ ᾅδου, ἢ τοῦ πυρὸς καθ-
αρτικοῦ ποιναῖς μελλούσας δεινοῦ, τὸν
κάματον καὶ τὴν ὀδύνην, οἶμαι, ἀσ-
μένως ἂν ὑπέμενες, καὶ οὐδὲν χαλεπὸν
ἐφοβοῦ. ἀλλ᾽ ὅτι τὰ εἰς ψυχὴν οὐ δύ-
νουσι, καὶ ἡμεῖς τὰ θωπεύματα ἔτι φι-
λοῦμεν, ψυχροὶ καὶ πάνυ ὀκνηροὶ δια-
τελοῦμεν.

---

ϛ. **Π**ολλάκις διὰ τὴν τοῦ πνεύματος
ἀπορίαν τὸ σχέτλιον σῶμα οὕτω κούφως
ὀδύρεται. Ἀξίωσον οὖν ταπεινῶς τὸν
κύριον, δοῦναί σοι τὸ τῆς κατανύξεως
πνεῦμα, καὶ λέγε σὺν τῷ προφήτῃ·
ψώμισόν με κύριε ἄρτον δακρύων,
καὶ πότισόν με ἐν δάκρυσιν ἐν μέτρῳ.

---

Περὶ ἐπισκέψεως τῆς ἀνθρωπίνης ἀθλιότητος

α. Ἄθλιος εἶ ὅπου δὲ ἂν ᾖς, καὶ ὅποι τράπῃς, πλὴν ἐὰν ἐπιστραφῇς πρὸς τὸν θεόν. τί ταράσσῃ ὅτι οὐ προχωρεῖ σοι, ὡς θέλεις, καὶ ἐπιθυμεῖς; τίς ἐστιν ᾧτινι πάντα κατὰ γνώμην ὑπάρχει; οὔτ᾽ ἐγώ, οὔτε σύ, οὔτ᾽ ἄλλος ἄνθρωπος ἐπὶ τῆς γῆς. οὐδείς ἐστιν ἐν κόσμῳ ἄνευ θλίψεως ἢ στενοχωρίας, καίπερ βασιλεὺς ἢ πάππας ὤν. τίς ἐστιν ὁ βέλτιον ἔχων; δηλονότι ὁ ὑπὲρ τοῦ θεοῦ πάσχειν τι δυνάμενος.

---

β. Λέγουσι πολλοὶ ἀσθενεῖς, καὶ λέγουσι ὡς καλῶς ἐκεῖνος τὸν βίον διάγει, ὡς πλούσιος, ὡς μέγας, ὡς δυνατὸς καὶ ὑπέροχος τυγχάνει; ἀλλὰ τοῖς ἀγαθοῖς οὐρανίοις τὸν νοῦν πρόσεχε, καὶ γνώσῃ ὅτι μὲν πάντα τὰ πρόσκαιρα, οὐδὲν ἐστι, πάνυ δ᾽ ἄδηλα, καὶ μᾶλλον φορτικά, ὅτι μηδέποτε ἀμερίμνως καὶ ἀφόβως ἔχονται. οὐκ ἔστιν ἡ τοῦ ἀνθρώπου εὐδαιμονία τὰ πρόσκαιρα κτᾶσθαι κατακόρως, ἀλλ᾽ αὐτῷ ἡ μετριότης ἀποχρῇ. Ἀληθῶς ἀθλιότης ἐστι ζῆν ἐπὶ τῆς γῆς. ὅσῳ ἂν ἄνθρωπος θελήσῃ εἶναι πνευματικώτερος, τοσούτῳ κόσμος ὁ παρὼν αὐτῷ πικρότερος γίνεται. ὅτι τὰ τῆς

βιβ: α. κεφ: κβ. σιγελ. β. αχπρ. ἐκα. ε.

ἀνθρωπίνου φθορᾶς ἐλαττώματα βέλτιον γινώσκει, καὶ σαφέστερον ὁρᾷ. τὸ γὰρ φαγεῖν, πιεῖν, γρηγορεῖν, καθεύδειν, ἡσυχάζειν, πονεῖν, καὶ ταῖς ἄλλαις ἀνάγκαις τῆς φύσεως ὑποτάττεσθαι, ὄντως μεγάλη ἀθλιότης ἐστὶ, καὶ κάκωσις τῷ θεοσεβεῖ ἀνθρώπῳ, ὃς ἂν ἀπαλλαχθῆναι, καὶ ἐλευθερωθῆναι παντὸς ἁμαρτήματος ἀσμένως ἐβούλετο.

---

γ. Ὁ γὰρ ἄνθρωπος ὁ ἔσω ἐν τῷδε τῷ κόσμῳ ταῖς τοῦ σώματος ἀνάγκαις φανερῶς βαρύνεται. Διόπερ ὁ προφήτης ἐλευθερωθῆναι τούτων εὐσεβῶς ἀξιοῖ, λέγων· Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. οὐαὶ δὲ τοῖς τὴν ταλαιπωρίαν αὐτῶν ἀγνοοῦσι, καὶ μᾶλλον οὐαὶ τοῖς τοῦτον τὸν ταλαίπωρον καὶ φθαρτὸν τὸν βίον ἀγαπῶσιν. οὕτω γάρ τινες πρὸς αὐτὸν φιλαχῶς φεάχονται. μὲν καὶ πονοῦντες, ἢ πτωχεύοντες τὰ πρὸς βίον ἀναγκαῖα μόλις ἔχουσι· ὅπως, εἰ ἂν ἐνταῦθα βιῶν δύνωνται, τῆς τοῦ θεοῦ βασιλείας μηδαμῶς ἐπιμελῶνται.

---

Ὦ ἀνόητοι καὶ ἄπιστοι τῇ καρδίᾳ, οἵτινες οὕτω ῥαδίως ἐν τῇ γῇ καταχαίρονται, ὡς οὐδὲν, εἰ μὴ σωματικὸν, φρονεῖν. ὕστερον δὲ οἱ σχέτλιοι γνώσονται, ὡς εὐτελὲς καὶ οὐδὲν ἦν τὸ αὐτοῖς ἀγαπηθέν. καὶ διὰ οἱ ἅγιοι τοῦ θεοῦ, καὶ πάντες εὐσεβεῖς φιλόχριστοι οὐ τοῖς τῇ σαρκὶ ἐναρέστοις, οὐδὲ τοῖς νυνὶ ἀνθηροῖς προσεῖχον, ἀλλὰ πᾶσα ἡ ἐλπὶς καὶ ἡ προαίρεσις αὐτῶν τὰ ἀγαθὰ αἰώνια ἐπεπόθει. ὅλη ἡ ἐπιθυμία αὐτῶν εἰς τὰ βέβαια καὶ ἀόρατα ἐφέρετο, ὥστε τῷ ἔρωτι τῶν ὁρατῶν εἰς τὰ κατώτατα μὴ ἑλκυσθῆναι. Μὴ ἀπέλπιζε ὦ ἀδελφὲ, τοῦ ἐπιδοῦναι πρὸς τὰ πνευματικὰ, ἔτι καιρὸν καὶ ὥραν ἔχων.

---

ε. Διὰ τί τὴν προαίρεσίν σου εἰς τὴν ὑστεραίαν μέλλεις ἀναβάλλεσθαι; ἔγειραι καὶ παραχρῆμα ἄρχου λέγων· νῦν καιρός ἐστι τοῦ ποιεῖν, νῦν καιρός ἐστι τοῦ πολεμεῖν, νῦν καιρός ἐστιν ὁ ἐπιτήδειος τῆς κατορθώσεως. Ἡνίκα κακῶς ἔχεις καὶ θλίβῃ, τότε καιρός ἐστι τοῦ καταξιοῦσθαι τοῦ ἄθλου. Διὰ πυρὸς καὶ ὕδατος δεῖ σε διελθεῖν, πρὶν ἂν ἔλθῃς

βιβ: α. κεφ: κβ. στιγμὴ ε. α χπν. ια Εκ: 5.

εἰς ἀναψυχήν. Ἐὰν μὴ βιάσῃ σεαυτόν, τὴν κακίαν οὐ νικήσεις. Ἐφ' ὅσον τοῦτο φθαρτὸν σῶμα βαστάζομεν, ἀναμάρτητοι εἶναι, ἀλύπως τε καὶ ἀναλγήτως βιοῦν οὐ δυνάμεθα. Ἡδέως μὲν ἂν ἁπάσης τῆς ταλαιπωρίας ἀπηλλαττόμεθα, ἀλλ' ὅτι τὴν ἀνευθυνίαν διὰ τῆς ἁμαρτίας ἀπωλέσαμεν, καὶ τῆς ἀληθοῦς μακαριότητος ἐστερήθημεν. Διότι χρὴ ἡμᾶς ὑπομονητικῶς ἔχειν, καὶ τὸ τοῦ θεοῦ ἔλεος προσδοκᾶν, ἕως ἂν παρέλθῃ ἡ ἀδικία, καὶ τὸ θνητὸν καταποθῇ ὑπὸ τῆς ζωῆς.

---

5. Ὢ πόση ἡ ἀνθρωπίνη ἀσθένεια, ἀεὶ πρὸς τὴν κακίαν καταφερής; σήμερον τὰς ἁμαρτίας σου ὁμολογεῖς, καὶ αὔριον πάλιν τὰς ὡμολογημένας ποιεῖς. Νῦν ὑποτίθεσαι εὐλαβεῖσθαι, καὶ μετὰ ὥραν, ὡς οὐχ ὑποδεξάμενος πράττεις. Εἰκότως οὖν ἡμᾶς ταπεινοῦν, καὶ μηδέποτε μέγα φρονεῖν δυνάμεθα, ὅτι οὕτω ἀσθενεῖς καὶ ἀσταθεῖς τυγχάνομεν. Ταχέως γὰρ δι' ἀμελείας ἀπόλλυσθαι δυνατόν ἐστιν,

ὅτι πολυπόνως μόλις ποτὲ διὰ χάρι-
τος ἐπορίσθη.

ζ. Τί ἡμῶν γενήσεται ἐν τέλει, οἵτινες οὕτως ὀξέως χλιαροί ἐσμεν; ἐὰν ἡμεῖς ἀτόνως τὸν τρόπον ἐπὶ τὴν ἡσυχίαν ἀποκλίνειν βουλόμεθα, ὡς ἂν νῦν ἡ εἰρήνη καὶ ἡ ἀσφάλεια ἐγένετο, μήπω τοῦ ἀληθοῦς ἁγιότητος ἴχνους ἐν τῇ διαγωγῇ ἡμῶν φαινομένου. μεγάλη ἀνάγκη εἴη ἂν ἡμᾶς ὡς νεωτέρους πρὸς τὰ βέλτιστα ἤθη παιδευθῆναι, εἰ ἄρα κατορθώσεως τινος μελλούσης, καὶ μείζονος προκοπῆς πνευματικῆς ἐλπὶς ἔσται.

## Κεφ: κγ.

### Περὶ τῆς μελέτης τοῦ θανάτου.

α. Πάνυ ταχέως οἰχήσῃ, διὸ πρόσεχε πῶς ἂν διατιθῇ. σήμερον ὁ ἄνθρωπος ὢν τυγχάνει, καὶ αὔριον οὐ φαίνεται. Ἀφαιρεθεὶς δ' ἀπὸ τῶν ὀφθαλμῶν, καὶ ἐν τάχει τῆς διανοίας ἀποίχεται. ὢ τῆς ἀνθρωπίνης ἀμβλύτητος, καὶ σκληροκαρδίας, τὰ μὲν παρόντα μόνον μελετώσης, τὰ δὲ μέλλοντα οὐ μᾶλλον προορώσης. Τοιοῦτος ἂν ὀφείλεις

βιβ: α. κεφ. κγ. στιγμὴ α. ἀρχὴ γ. ιά ἕως ε.
ἐν παντὶ ἔργῳ καὶ ἐννοίᾳ εἶναι, ὡς σήμε-
ρον, ἢ παραχρῆμα θανούμενος. εἰ καλὴν
συνείδησιν εἶχες, οὐκ ἂν σφόδρα τὸν θάνα-
τον ἐφοβοῦ. βέλτιον ἂν ἦν τὰ ἁμαρτή-
ματα εὐλαβεῖσθαι, ἢ τὸν θάνατον φεύ-
γειν. Εἰ σήμερον οὐκ εἶ παρεσκευασμέ-
νος, πῶς αὔριον ἔσῃ; ἡ αὔριον ἄδηλος, καὶ
πῶς οἶδας εἰ τὴν αὔριον ἕξεις;

---

ιβ. ζ.

β. Τί συμφέρει πολὺν χρόνον βιοῦν, ὅτε
οὕτως ὀλίγον ἐπανορθούμεθα; Ἀεὶ δή, ἡ μα-
κροβιότης οὐκ ἀεὶ ἐπανορθοῖ, ἀλλὰ πολ-
λάκις τὸ ἔγκλημα μᾶλλον πληθύνει.
Εἴθε μίαν ἡμέραν ἐν τούτῳ κόσμῳ κα-
λῶς διηγάγομεν. πολλοὶ μὲν τὰ τῆς ἐπι-
στροφῆς ἔτη λογίζονται, ὁ δὲ τῆς ἐπανορθώ-
σεως καρπὸς πολλάκις μικρός ἐστιν.
Εἰ φοβερόν ἐστι θανεῖν, ἴσως πλείω χρό-
νον βιοῦν ἐπισφαλέστερον ἔσται. Μακάρι-
ος ὁ τὴν τῆς τελευτῆς αὐτοῦ ὥραν συνεχῶς
προβλέπων, καὶ ἐπὶ τὸ θανεῖν καθ᾽ ἑκάστην
αὐτὸν παρασκευαζόμενος. εἰ ἑώρακάς
ποτε ἄνθρωπον ἀποθνήσκοντα, ἐννόει ὅτι
σὺ τὴν αὐτὴν ὁδὸν διελεύσῃ.

---

γ. Πρωΐας γενομένης, ἕως τῆς ἑσπέρας
βιώσεσθαί σε μὴ νόμιζε· τῆς δὲ ἑσπέρας
οὔσης, τὸν ὄρθρον σεαυτῷ ὑπισχνεῖσθαι μὴ
τόλμα. Ἀεὶ τοίνυν γίνου ἕτοιμος, καὶ
οὕτω βίωθι, ἵν' ὁ θάνατος μηδέποτέ σε
ἀπαρασκεύαστον εὕρῃ. πολλοὶ ἀφνιδίως
καὶ ἀπροσδοκήτως τελευτῶσιν, ὅτι ᾗ ὥ-
ρᾳ οὐ δοκοῦμεν, ὁ υἱὸς τοῦ ἀνθρώπου μέλ-
λει ἔρχεσθαι. τῆς τελευταίας ἐκείνης ὥ-
ρας παρούσης, περὶ ὅλου τοῦ βίου σου παρ-
ελθόντος πάνυ ἄλλως ἄρξῃ γινώσκειν,
καὶ ἐπὶ τῷ οὕτως ἀμελῆ καὶ ἀνειμένον σε
γενέσθαι ἀλγήσεις.

---

δ. Ὡς μακάριος καὶ φρόνιμός ἐστιν,
ὁ τοιοῦτος ἐν τῷ βίῳ εἶναι σπουδάζων,
οἷος ἐν τῷ θανάτῳ εὑρεθῆναι εὔχεται.
μεγάλην γὰρ ἐλπίδα τοῦ εὐδαιμό-
νως ἀποθανεῖν δώσει ἡ τελεία κατα-
φρόνησις τοῦ κόσμου, ἡ ζεστὴ ἐπιθυμί-
α τοῦ πρὸς ἀρετὰς ἐπιδοῦναι, τὸ φιλεῖν
τὴν παίδευσιν, ὁ πόνος τῆς μετανοίας,
ἡ προθυμία τοῦ ὑπακούειν, ἡ ἀπάρνησις
ἑαυτοῦ, καὶ ἡ ὑπομονὴ ἁπάσης συμφο-
ρᾶς χάριν τοῦ Χριστοῦ. ὑγιαίνων μὲν
πολλὰ ἔργα καλὰ ἐργάσασθαι δύνῃ·
ἀρρωστῶν δ' οὐκ οἶδα τί ἂν δυνηθῇς.

βιβ: α. κεφ: κγ. στιγμὴ δ'. α χρν. ιβ ἐπὶ ζ.

ὀλίγοι ἐκ τῆς ἀσθενείας βελτίους γίνονται, καὶ ἐπανορθοῦνται, οὕτως οἱ πολλάκις ἀποδημοῦντες σπανίως ἁγιάζονται.

---

ε'. Μὴ πέποιθε ἐπὶ τοὺς φίλους, καὶ τοὺς πλησίον σου, μηδ' εἰς τὸν χρόνον μέλλοντα τὰ τῆς σωτηρίας σου ἀναβάλλου, ὅτι ὀξύτερον τῆς δόξης σου, οἱ ἄνθρωποι ἀμνημονήσουσί σου. κρεῖττόν ἐστι νῦν ἐγκαίρως προνοεῖν, καὶ ἀγαθόν τι προπέμπειν, ἢ ἐπὶ τῇ τῶν ἄλλων βοηθείᾳ πεποιθέναι. εἰ ἐν τῷ παρόντι οὐκ ἐπιμελῇ σεαυτοῦ, τίς ἐν τῷ μέλλοντι τὴν περὶ σοῦ φροντίδα ἕξει; νῦν καιρός ἐστι πολύτιμος, νῦν ἡμέραι τῆς σωτηρίας εἰσί. νῦν καιρὸς εὐπρόσδεκτος. Ἀλλὰ φεῦ φεῦ, ὅτι αὐτὸν οὐ χρησιμώτερον διατρίβεις, ἐν ᾧ ἀξιωθῆναι δύνῃ, ὅθεν ἂν αἰωνίως ζήσῃ. ἥξει καιρός, ὅτε μιᾶς ἡμέρας, ἢ ὥρας εἰς τὴν ἐπανόρθωσιν ἐπιθυμήσεις, καὶ οὐκ οἶδα, εἰ αὐτῆς τεύξῃ.

---

ς'. Εἶα ὦ φίλτατε, πόσου κινδύνου ἀπαλλαχθῆναι, καὶ πόσου φόβου ἀφεθῆναι δύ-

:βιβ: α. κεφ: κγ. στιχεῖον ϛ. α χπτ. ιγ. ξκ: α.
νήσῃ ἐν νῦν ἀεὶ εὐλαβῶς καὶ πεφυλαγμένως πρὸς τὸν θάνατον διατεθήσῃ; σπούδαζε νῦν τοιούτως βιοῦν, ἵν' ἐν τῇ τοῦ θανάτου ὥρᾳ μᾶλλον χαίρειν, ἢ λυπεῖσθαι δυνηθῇς. μάνθανε νῦν τῷ κόσμῳ ἀποθανεῖν, ὅπως τότε τῷ Χριστῷ συζῆσαι ἄρξῃ. μάνθανε νῦν πάντων καταφρονεῖν, ἵνα τότε πρὸς τὸν Χριστὸν ἀνεμποδίστως πορευθῆναι δύναι δυνηθῇς. ὑποπίαζε νῦν τὸ σῶμά σου διὰ τῆς μετανοίας, ὅπως τότε βεβαίαν πεποίθησιν ἔχειν οἷός τε γένῃ.

---

ζ. Ὦ ἀνόητε, τί ἀθυμεῖ μακρὰν σε ζήσειν, ὁ μηδὲ μίαν ἡμέραν ἔνθα ἀσφαλῆ ἔχων; ὡς πολλοὶ ἠπατημένοι, καὶ ἀπροσδοκήτως τοῦ σώματος ἐξελκυσμένοι εἰσί; ποσάκις τῶν εἰπόντων ἤκουσας, ὅτι ὁ μὲν ἐξιφοκτονήθη, ὁ δὲ κατεποντίσθη, ὁ δὲ ὑψόθεν καταπεσὼν ἐξετραχηλίσθη, ὁ δὲ ἐν τῷ φαγεῖν ἀπεπνίχθη, ὁ δὲ ἐν τῷ παίζειν ἐτελεύτησεν. ἄλλος τῇ φλογί, ἄλλος τῷ σιδήρῳ, ἄλλος τῷ λοιμῷ, ἄλλος τῇ λῃστείᾳ ἀπόλωλε, καὶ τόνδε τὸν τρόπον τὸ τέλος ἁπάντων ὁ θάνατός ἐστι, καὶ ἡ τῶν ἀνθρώπων ζωὴ ὥσπερ σκιὰ ὀξέως παράγει.

---

βιβ: ά. κεφ: κγ. ... α. χ. π. γ. ι. έκ: α.

η. Τίς μνησθήσεταί σου μετὰ τὸν θάνατον; τίς εὔξεται ὑπὲρ σοῦ; ποίησον, ποίησον νῦν, ὦ ἀγαπητέ, ὅ,τι ἂν ποιεῖν οἷός τ᾽ ᾖς· οὐ γὰρ οἶδας, ὁπότε ἀποθανῇ, ἢ τί τελευτήσαντί σοι μέλλει συμβήσεσθαι. Ἕως τοῦ καιροῦ ἔχεις, ἄθροισόν σοι τὸν πλοῦτον ἀθάνατον. πλὴν τῆς σωτηρίας σου μηδὲν ἄλλο ἐννόει, τῶν τοῦ θεοῦ μόνον φρόντιζε.

ιθ. β.

Νῦν τῷ τοὺς φίλους τοῦ θεοῦ τιμᾶν, καὶ τῷ τὰς πράξεις αὐτῶν μιμεῖσθαι, ποίησόν σοι φίλους, ὅταν, ἵνα, ἐκλίπῃς ἐν τῇδε ζωῇ, αὐτοὶ δέξωνταί σε εἰς τὰς αἰωνίους σκηνάς.

---

θ. Πάρεχέ σε ὡς παρεπίδημον καὶ ξένον ἐπὶ τῆς γῆς, ᾧτινι τὰ τοῦ κόσμου οὐδὲν προσήκει. Διαφύλαξον τὴν καρδίαν ἐλευθέραν, καὶ εἰς τὸν θεὸν ἐπαρθεῖσαν, ὅτι ἐνθάδε μένουσαν πόλιν οὐκ ἔχεις. ἐκάσε τὰς δεήσεις καὶ τοὺς στεναγμοὺς τοὺς καθ᾽ ἑκάστην σὺν τοῖς δάκρυσι κατεύθυνον, ἵνα τὸ πνεῦμά σου μετὰ τὴν τελευτὴν ἀξιωθῆναι, πρὸς τὸν κύριον εὐδαιμόνως ἔρχεσθαι. Ἀμήν.

## Κεφ: κδ.

### Περὶ τοῦ κρίματος, καὶ τῶν ποινῶν τῶν ἁμαρτημάτων.

α. Ἐν πάσαις πράξεσι πρὸς τὸ τέλος ἀπόβλεψον, καὶ πῶς παραστήσῃ τῷ ἀκριβοδικαίῳ κριτῇ, ᾧτινι οὐδὲν ἐστὶ ἀποκεκρυμμένον· ὃς τοῖς δώροις οὐ πραΰνεται, οὔτε τὰς προφάσεις ἀποδέχεται, ἀλλ' ὅτι δίκαιόν ἐστι, κρινεῖ. Ὦ ἀθλιώτατε, καὶ ἀνόητε ἁμαρτωλὲ, τί ἀποκριθήσῃ τῷ θεῷ, τῷ πάντα τὰ κακά σου εἰδότι; ὃς τὸ τοῦ ὀργισθέντος ἀνθρώπου πρόσωπόν ποτε περιφοβῇ; Διὰ τί οὐ προορᾷς σοι ἐν τῇ τοῦ κρίματος ἡμέρᾳ ὅτ' οὐδεὶς ὑπὲρ ἄλλου ἀπολογεῖσθαι, ἢ συνηγορεῖν δυνήσεται, ἀλλ' ἕκαστος ἐξαρκὲς φορτίον ἑαυτῷ ἔσται; Νυνὶ ὁ πόνος σου ὠφέλιμος, ὁ κλαυθμὸς εὐπρόσδεκτος, ὁ στεναγμὸς ἐξάκουστος, ἡ ἀλγηδὼν ἱκανοποιητικὴ καὶ καθαρτική ἐστι.

---

β. Μέγα καὶ σωτηριῶδες πῦρ καθαρτήριον ὑπομένει ἄνθρωπος ἀνεξίκακος, ὃς ὑβρισθεὶς ἐπὶ τῇ τοῦ ἄλλου πονηρίᾳ μᾶλλον ἢ ἐπὶ τῇ ἀδικίᾳ αὐτοῦ λυπεῖται. ὃς ὑπὲρ τῶν ἐναντιουμένων αὐτῷ ἀσμένως ε

βιβ: α. κεφ: κδ. γίγνεται β. ἀχπγ. ιε Σκ: γ.

χεται, καὶ τὰς αἰτίας ἐκ τῆς καρδίας συγ-
γινώσκει· ὃς πρὸς τὸ τὴν συγγνώμην
παρὰ τῶν ἄλλων αἰτεῖσθαι οὐκ ὀκνη-
ρῶς ἔχει· ὃς ῥᾷον ἐλεεῖ ἢ ὀργίζεται·
ὃ ἑαυτὸν συχνῶς βιάζεται, καὶ τὴν σάρ-
κα τῷ πνεύματι παντελῶς ὑποτάσσειν
σπουδάζει. Ἄμεινόν ἐστι νῦν τὰς ἁμαρ-
τίας καθαρίζειν, καὶ τὰς κακίας ἀναιρεῖν,
ἢ εἰς τὸ καθαρίζεσθαι ἐν τῷ μέλλοντι
τηρῆσαι. ἀληθῶς δι᾽ ἀτάκτου ἀγάπης
ἣν εἰς τὴν σάρκα ἔχομεν, ἡμᾶς αὐτοὺς
ἐξαπατῶμεν.

---

γ. Τί ἄλλο ἐκεῖνο τὸ πῦρ καταφάγεται,
εἰ μὴ τὰ ἁμαρτήματά σου; ὅσῳ μᾶλ-
λον νυνὶ σεαυτοῦ φείδῃ, καὶ τῇ σαρκὶ ἕπῃ,
τοσούτῳ δεινότερον κολασθήσῃ, καὶ
μείζω ὕλην τοῦ καίεσθαι τηρεῖς. ἐν οἷς
ὁ ἄνθρωπος ἥμαρτεν, ἐν αὐτοῖς σκλη-
ρότερον κολασθήσεται. Ἐκεῖ οἱ ἀκη-
δεῖς πυρακαέσι κέντροις νυχθήσονται,
καὶ οἱ γαστρίμαργοι μεγίστῳ λιμῷ
ὀδυνηθήσονται. ἐκεῖ οἱ ἀσελγεῖς
καὶ φιλήδονοι πίσσῃ καιομένῃ καὶ δυσ-
ώδει θείῳ καταρρεύσονται, καὶ ὡς κύνες
λυσσώδεις οἱ φθονεροὶ ὑπ᾽ ὀδύνης ὀλολύξουσιν.

# ΒΙΒΛΙΟΝ δ.

Εὐμενὴς παράκλησις πρὸς τὴν ἱερὰν κοινωνίαν. Ἡ φωνὴ τοῦ Χριστοῦ.

Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, λέγει ὁ κύριος. ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. λάβετε καὶ φάγετε τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμα καὶ ζωή ἐστι.

Κεφ: α.

Ὅσῃ εὐλαβείᾳ ἰσ: δ.
δεῖ τὸν Χριστὸν ἀποδέξασθαι.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

α. Τὰ ῥήματα ταῦτα, σά ἐστιν, ὦ Χριστὲ, αἰώνιε ἀλήθεια, κἄπερ οὐχ ἑνὶ χρόνῳ λεχθέντα, οὐδ᾽ ἐν ἑνὶ τόπῳ συγγραφθέντα. ἐπεὶ οὖν, σὰ καὶ ἀληθῆ ἐστιν, εὐχαρίστως καὶ πιστῶς αὐτὰ ἀποδεκτέον. σὰ ὑπάρχει, καὶ σὺ αὐτὰ εἶπας· καίτοι καὶ ἐμά ἐστιν, ὅτι ὑπὲρ τῆς σωτηρίας μου αὐτὰ ἐξηγόρευσας. ἀσμένως ἀποδέχομαι αὐτὰ ἐκ τοῦ στόματός σου, τοῦ βε-

βιβ: δ. κεφ: α. στιχ: α. ἀρχή τις ἐκ: δ.
ραγότεσαν τῇ καρδίᾳ μου συνάψαι.
παρορμᾷ μὲν ἐμὲ τοιαύτης εὐσπλαγ-
χνίας ῥήματα, πλήρη γλυκύτητος καὶ
ἀγάπης ὄντα· φοβεῖ δὲ τὰ ἴδια ἁμ-
αρτήματα, κἀμὲ ἡ ἀκάθαρτος συν-
είδησις, τοῦ τοσούτοις μυστηρίοις προσ-
δέχεσθαι ἀποδεῖ. παροξύνει με ἡ ἡδυ-
λογία σου, ἀλλὰ τὸ τῶν κακιῶν μου
πλῆθός με ἐπιφορτίζει.

---

β. Κελεύεις με πεποιθότως σοι προσ-
ελθεῖν, ἐὰν μετὰ σοῦ μέρος ἔχειν βου-
ληθῶ· καὶ τὴν τῆς ἀθανασίας τροφὴν λα-
βεῖν, ἐὰν τῆς αἰωνίου ζωῆς καὶ τῆς δόξης
τυχεῖν ἐπιποθήσω. δεῦτε, φής, πρός
με πάντες οἱ κοπιῶντες καὶ πεφορτισ-
μένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ὢ
γλυκὺ καὶ προσφιλὲς ῥῆμα ἐν τῷ ὠτὶ
τοῦ ἁμαρτωλοῦ, ὅτι σὺ κύριε ὁ θεός μου,
τὸν πτωχὸν καὶ πένητα εἰς τὴν κοινω-
νίαν τοῦ ἁγιωτάτου σώματός σου καλεῖς.
ἀλλὰ μὴν τίς ἐγώ εἰμι, ἵνα σοι προσ-
ελθεῖν τολμήσω; ἰδοὺ οἱ οὐρανοὶ
τῶν οὐρανῶν οὐκ ἀρκοῦσί σοι, καὶ σὺ
λέγεις· δεῦτε πρός με πάντες.

 

γ'. Τί βούλεται αὕτη ἡ ἠπιωτάτη ἀξί-
ωσις, καὶ οὕτω προσφιλὴς κλῆσις; πῶς τολ-
μήσω ἔρχεσθαι ὁ μηδὲν ἀγαθὸν συν-
ειδώς μοι, ὅθεν ἂν προλαβεῖν δυνηθῶ
πῶς εἰσάξω σε εἰς τὸν οἶκόν μου, ὁ πλεον-
άκις τῷ εὐμενεστάτῳ προσώπῳ σου προσ-
πταίσας; ἐντρέπονται οἱ ἄγγελοι καὶ οἱ ἀρ-
χάγγελοι, φοβοῦνται οἱ ἅγιοι καὶ δίκαιοι,
καὶ σὺ λέγεις· δεῦτε πρός με πάντες.
εἰ μὴ σὺ κύριε τοῦτο ἔλεγες, τίς ἂν τοῦ-
το ἀληθὲς εἶναι ἐπίστευε; καὶ εἰ μὴ σὺ
ἐπέταττες, τίς προσελθεῖν ἐπεχείρει;
ἰδοὺ, ὁ Νῶε ἀνὴρ δίκαιος ἐν τῷ ποιεῖν
τὴν κιβωτὸν ἑκατὸν ἔτη ἐπόνησε, τοῦ
μετ' ὀλίγων σωθῆναι. κἀγὼ πῶς δυνα-
τ' ἔσομαι μιᾷ ὥρᾳ παρασκευάζειν
με τοῦ τὸν κτίστην τοῦ κόσμου εὐλαβῶς
λαβεῖν;

---

δ'. Ὁ Μωϋσῆς ὁ δοῦλός σου, μέγας καὶ ἴδιος
φίλος σου, τὴν κιβωτὸν ἐκ τοῦ ἀσήπτου ξύ-
λου ἐποίησεν, ἣν καὶ κατεχρύσωσε χρυσίῳ
καθαρωτάτῳ, τοῦ ἐν αὐτῇ ἀποθεῖναι τὰς
πλάκας τοῦ νόμου. κἀγὼ σαπρὰ κτίσις σε
τὸν νομοθέτην, καὶ δοτῆρα τῆς ζωῆς οὕτω
ῥᾳδίως ὑποδέξασθαι τολμήσω; ὁ Σο-
λομῶν σοφώτατος τῶν βασιλέων

βιβ: δ΄. κεφ: ά. στιχ: δ΄. ἀρχ. πγ. ιϛ. Ἐκεῖ τοῦ Ἰσραὴλ μεγαλοπρεπῆ ναόν, ἑπταέτεσιν εἰς τὴν δόξαν τοῦ ὀνόματός σου ᾠκοδόμησε· καὶ ἡμέρας ὀκτὼ τὴν τῶν ἐγκαινίων ἑορτὴν ἤγαγε· χιλίας θυσίας τῶν ἀρνίων ἔθυσε, καὶ τὴν κιβωτὸν τῆς διαθήκης ἐν κλαγγῇ τῆς σάλπιγγος καὶ ἄλλῳ ἀλαλαγμῷ εἰς τόπον αὐτῇ ἑτοιμασθέντα λαμπρῶς ἀνεκάλεσε· κἀγὼ ταλαίπωρος καὶ πενέστατος τῶν ἀνθρώπων πῶς ἂν σε εἰς τὸν οἶκόν μου εἰσαγάγω, ὃ μόλις ἡμισείαν ὥραν θεοσεβῶς διατρίβειν ἐθελῶς; εἴθε δὲ ἅπαξ γε ἀξίως κελὸν ἡμισείαν.

---

έ. Ω Θεέ μου, ὅσον ἐκεῖνοι περὶ τὸ ἀρέσκειν σοι ἐσπούδασαν. φεῦ, ὡς μικρόν ἐστιν, ὅ,τι ποιῶ· ὡς βραχὺν χρόνον ἀναλίσκω εἰς τὸ κοινωνεῖν ἐμὲ παρασκευάζων. σπανίως ὅλος συλλεχθείς, σπανιώτατα ἀπὸ παντὸς διασπασμοῦ καθαρισθεὶς τυγχάνω. καίτοι ἐν τῇ τῆς θεότητός σου σωτηριώδει παρουσίᾳ ἔδει ἂν μηδένα ἀπρεπῆ λογισμὸν εἰς τὸν νοῦν ἔρχεσθαι, οὐδέ τινα κτίσιν μοι ἀσχολίαν παρέχειν, ὅτι οὐκ ἄγγελον, ἀλλὰ τὸν κύριον τῶν ἀγγέλων ξενίζω.

---

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg

ε. Ἀλλ᾽ ὅμως πολὺ διαφέρει ἡ κι-
βωτὸς τῆς διαθήκης, σὺν τοῖς λειψάνοις
αὐτῆς, καὶ τὸ καθαρώτατον σῶμά σου
σὺν ταῖς ἀποῤῥήτοις δυνάμεσιν αὐτοῦ
εἴτε νομικὰς θυσίας τῶν μελλόντων προ-
τυπωτικάς, καὶ ἡ τοῦ σώματός σου ἀλη-
θινὴ ἀναφορά, πασῶν παλαιῶν θυσι-
ῶν συμπληρωτική. διὰ τί οὖν οὐ μᾶλ-
λον τῇ σεβασμίῳ παρουσίᾳ σου ἐκπυροῦ-
μαι; διὰ τί οὐ μείζονι ἐπιμελείᾳ
εἰς τὸ τὰ ἅγιά σου λαβεῖν με παρα-
σκευάζω, τῶν παλαιῶν ἁγίων πατρι-
αρχῶν καὶ προφητῶν, τῶν τε βασιλέ-
ων καὶ ἀρχόντων, σὺν παντὶ λαῷ, το-
σοῦτο εὐλαβείας πάθος ἐν τῇ τοῦ θεοῦ
θεραπείᾳ ἐπιδειξάντων.

---

ζ. Ὠρχήσατο ὁ εὐλαβέστατος βασιλεὺς
ὁ Δαβίδ, ἔμπροσθεν τῆς κιβωτοῦ τοῦ θεοῦ
ἐξ ὅλης ~~[illegible]~~ ἰσχύος, τῶν τοῖς πάλαι
πατράσι γενομένων εὐεργετημάτων
ἀναμνησθείς. ἐποίησε ποικίλα ὄργανα
τοὺς ψαλμοὺς ἐξέδωκε, καὶ ἐπέταξεν ᾄδ-
εσθαι αὐτοὺς ἐν εὐφροσύνῃ. ἔτι δὲ καὶ
αὐτὸς πολλάκις τῇ κιθάρᾳ ᾖσε, τῇ τοῦ
ἁγίου πνεύματος χάριτι ἐμπνευσθεὶς
ὤν. τὸν λαὸν τοῦ Ἰσραὴλ ἐδίδαξε τὸν
θεὸν ὅλῃ τῇ καρδίᾳ αἰνέσαι, καὶ συνη-
χεῖ στόματι καθ᾽ ἑκάστην εὐλογῆσαι

ιε

βιβ: δ. κεφ: α. στιχ: ζ. ἀρχή· Ἕκαστον: δ.
καὶ κηρύξαι. εἰ τοσαύτη εὐλάβεια καὶ
ἀνάμνησις τοῦ θείου ἐπαίνου ἐναντί-
ον τῆς κιβωτοῦ τῆς διαθήκης τότε ἐγέ-
νετο, πόσην αἰδῶ καὶ εὐλάβειαν δεῖ
νῦν ἐμὲ, καὶ πάντα τὸν χριστιανὸν λα-
ὸν ἐν παρουσίᾳ τοῦ μυστηρίου, καὶ ἐν κοιν-
ωνίᾳ τοῦ ἐπιφανεστάτου σώματος τοῦ
χριστοῦ ἔχειν;

---

η. Πολλοὶ εἰς διαφέροντας τόπους τρέχου-
σι, τοῦ τὰ τῶν ἁγίων λείψανα ἐπισκέψα-
σθαι· καὶ τὰς αὐτῶν πράξεις ἀκούσαντες
θαυμάζουσι, τὰς τῶν ναῶν μεγάλας
οἰκοδομὰς ἐφορῶσι, καὶ τὰ ἅγια ὀστέα
αὐτῶν τὰ σηρικῷ καὶ χρυσῷ ἐντυλιχθέν-
τα καταφιλοῦσιν. ἰδοὺ δὲ σὺ πάρει ἐν-
θάδε παρά μοι ἐν τῷ ~~θυσπ~~ θυσια-
στηρίῳ, ὁ θεός μου, ὁ ἅγιος τῶν ἁγί-
ων, κτιστὴς ἁπάντων, καὶ κύριος τῶν
ἀγγέλων. πολλάκις ἐν τῷ τοιαῦτα
βλέπειν περιεργία τῶν ἀνθρώπων ἐστὶ,
καὶ τῶν οὐχ ἑωραμένων καινότης καὶ
ὀλίγη ὠφέλεια τῆς ἐπανορθώσεως [ἑαυ]
ἐκεῖθεν γίνεται, ἄλλως τε ἐὰν ἡ δια-
δρομὴ οὕτω κούφη ἄνευ τῆς ἀληθινῆς
συντρίψεως ᾖ. ἔνθα δὲ ἐν τῷ μυ-
στηρίῳ τοῦ θυσιαστηρίου ὅλος πάρει.

ὁ θεός μου, ὁ ἄνθρωπος Χριστὸς Ἰησοῦς.
ὅπου καὶ ὁ εὔπορος τῆς αἰωνίου σωτηρίας καρ-
πὸς λαμβάνεται, ὁποσάκις ἂν ἀξίως καὶ
εὐλαβῶς παραδεχθῇς. εἰς τοῦτο δ' οὐ
κυδότης τις, οὐδὲ πολυπραγμοσύνη, ἢ
τὸ αἰσθητικὸν, ἀλλ' ἡ βεβαία πίστις,
εὐλαβὴς ἐλπὶς, καὶ εἰλικρινὴς ἀγάπη ἑλ-
κύει.

θ. Ὦ ἀόρατε κτιστὰ τοῦ κόσμου ὁ θεὸς, ὡς
θαυμαστῶς προσδέχῃ ἡμῖν, ὡς ἡδέως
καὶ χαριέντως τὰ τῶν ἐκλεκτῶν δια-
τίθης, ὅπου σεαυτὸν ἐν τῷ μυστηρί-
ῳ εἰς τὸ λαμβάνεσθαι προτίθης. τοῦτο
γὰρ παντὸς τοῦ νοὸς ὑπερέχει. τοῦτο
ἰδίως ταῖς τῶν εὐλαβῶν καρδίαις ἑλ-
κύζει, καὶ τὴν ὁρμὴν ἀνάπτει. οἱ γὰρ
ἀληθινοὶ πιστοί σου, οἱ ὅλον τὸν βίον
αὐτῶν εἰς τὴν ἐπανόρθωσιν διοικοῦν-
τες, ἐκ τοῦ ἀξιωτάτου μυστηρίου τούτου
μεγάλην χάριν τῆς εὐλαβείας, καὶ τὴν δι-
αρετήνιαν συχνῶς καρποῦνται.

ι. Ὦ τῆς θαυμαστοῦ καὶ ἀποκρύφου χάρι-
τος τοῦ μυστηρίου, ἣν μόνον τοῦ Χριστοῦ
πιστοὶ γινώσκουσιν. οἱ δ' ἄπιστοι καὶ τοῖς
ἁμαρτήμασι δουλεύοντες, αὐτῆς
πειρᾶσθαι οὐ δύνανται. ἐν τούτῳ μυ-
στηρίῳ ἡ πνευματικὴ χάρις παρέχ-

βιβ: δ. κεφ: α. στιχ: ι. αχπγ. Σα: δ.

εται, καὶ ἡ δύναμις τῆς ψυχῆς ἡ ἀπολωλυῖα πάλιν ἀναλαμβάνεται, καὶ τὸ κάλλος διὰ τῆς ἁμαρτίας ἀπομορφωθὲν ἀνανεοῦται. τοσαύτη ποτὲ ἐστιν αὕτη ἡ χάρις, ὥστε ἐν τοῦ πληρώματος τῆς θοδαίσης εὐλαβείας οὐ μόνον ὁ νοῦς, ἀλλὰ καὶ τὸ ἀσθενὲς σῶμα τῆς δυνάμεως αὔξησιν αἴσθησαι.

---

ια. Λυπητέον δὲ καὶ σφόδρα ἐλεητέον, τὴν χλιαρότητα καὶ ῥᾳθυμίαν ἡμῶν, ὅτι οὐ μείζονι ὁρμῇ εἰς τὸν Χριστὸν λαβεῖν ἑλκυόμεθα, ἐν ᾧπερ ἡ πᾶσα ἐλπὶς, καὶ ἡ ἀξία τῶν σωζομένων κεῖται. αὐτὸς γάρ ἐστιν ὁ ἁγιασμὸς καὶ ἡ λύτρωσις ἡμῶν· αὐτὸς παράκλησις τῶν ὁδιτῶν, καὶ τῶν ἁγίων αἰώνιος ἀπόλαυσις. ἀνιατέον οὖν σφόδρα ὅτι πολλοὶ τούτου σωτηρίου μυστηρίου τοῦ τὸν οὐρανὸν εὐφραίνοντος, καὶ ὅλον τὸν κόσμον διαφυλάττοντος, οὕτως ὀλίγον λόγον ἔχουσι. φεῦ τῆς τυφλότητος, καὶ τῆς τῶν ἀνθρώπων σκληροκαρδίας, τοῦ τῷ οὕτως ἀπορρήτῳ δώρῳ οὐ μᾶλλον τὸν νοῦν προσεχούσης, ἀλλὰ δὴ καὶ ἐκ τῆς καθημερινῆς χρήσεως εἰς τὴν ἀπροσεξίαν ἐμπιπτούσης.

ιβ. Εἰ γὰρ τοῦτο τὸ ἁγιώτατον μυστήριον ἐν ἑνὶ τόπῳ μόνον ἐτελεῖτο, καὶ μόνον ὑφ' ἑνὸς ἱερέως ἐν τῷ κόσμῳ ηὐλογεῖτο, ὡς ἄρα ἐπιθυμητικῶς πρὸς ἐκεῖνον τὸν τόπον, καὶ πρὸς τοιοῦτον τοῦ θεοῦ ἱερέα οἱ ἄνθρωποι εἶχον, καὶ τῆς τελετῆς τῶν θείων μυστηρίων ἧκον; νυνὶ δὲ πολλοὶ ἱερεῖς ἐγένοντο, καὶ πολλαχοῦ ὁ Χριστὸς προσφέρεται, ἵνα τοσούτῳ μείζων ἡ χάρις, καὶ ἡ τοῦ θεοῦ φιλανθρωπία φανερωθῇ, ὅσῳ εὐρύτερον ἡ ἁγία κοινωνία ἐν τῷ κόσμῳ διεχύθη. εὐχαριστῶ σοι Ἰησοῦ ἀγαθὲ, αἰώνιε ποιμὴν, ὁ ἡμᾶς πτωχούς τε καὶ φυγάδας τῷ τιμίῳ σώματί καὶ αἵματί σου ἑστιάσαι ἀξιώσας, καὶ εἰς τὸ ταῦτα μυστήρια λαβεῖν τῇ τοῦ ἰδίου στόματος προσφωνήσει καλέσας, τῷ λέγειν· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

---

ιη. ε. Κεφ. β.

Ὅτι μεγάλη ἀγαθότης καὶ ἀγάπη τοῦ θεοῦ τῷ ἀνθρώπῳ ἐν τῷ μυστηρίῳ παρέχεται.

Ἡ φωνὴ τοῦ μαθητοῦ

α. Τῇ ἀγαθότητί σου καὶ μεγάλῳ ἐλέει σου, κύριε, πεποιθὼς, ἔρχομαι ἀσθενὴς πρὸς τὸν σωτῆρα, πεινάλεος καὶ διψαλέος

βιβ: δ. κεφ: β. ς. ἐντμῆμα. ἀρχῆ. Ξα: ιη. ς.

πρὸς τὴν πηγὴν τῆς ζωῆς, πένης πρὸς τὸν βασιλέα τοῦ οὐρανοῦ, ὁ δοῦλος πρὸς τὸν κύριον, ἡ κτίσις πρὸς τὸν κτίστην, ἀπαράκλητος πρὸς τὸν εὔσπλαγχνον παράκλητόν μου. πόθεν δέ μοι τοῦτο, ἵν' ἔλθῃς πρὸς ἐμέ; τίς ἐγώ εἰμι, ἵνα παράσχῃς μοι σεαυτόν; πῶς σὺ τῷ ἁμαρτωλῷ προσελθεῖν ἀξιοῖς; σὺ γινώσκεις τὸν δοῦλόν σου, καὶ οἶδας ὅτι μηδὲν ἀγαθὸν ἐν ἑαυτῷ ἔχει, ὅθεν ἂν τοῦτο αὐτῷ χαρίσῃ. διὸ ὁμολογῶ τὴν εὐτέλειάν μου, γινώσκω τὴν ἀγαθότητά σου, ἐπαινῶ τὴν ἠπιότητα, καὶ ἀντὶ τῆς ἄγαν ἀγάπης σου εὐχαριστῶ. διὰ σεαυτὸν γὰρ τοῦτο ποιεῖς, οὐ διὰ τὴν ἀξίαν μου, τοῦ τὴν ἀγαθότητά σου μᾶλλον φανερωθῆναι, τὴν δὲ τε ἀγάπην μείζω ἐμποιηθῆναι, καὶ τὴν ταπεινότητα τελειότερον συσταθῆναι. ἐπεὶ οὖν τοῦτο ἀρέσκει σοι, καὶ σὺ οὕτω γενέσθαι ἐκέλευσας, καὶ ἡ ἀξίωσίς σου ἀρέσκει μοι, εἴθε δὲ ἡ ἀδικία μου οὐκ ἦν ἐμπόδιον.

β. Ὦ γλυκύτατε καὶ προσηνέστατε Ἰησοῦ, πόση εὐλάβεια καὶ εὐχαριστία σὺν αἰωνίῳ

ἐπαινῶ ὑπὲρ τῆς τοῦ ἁγίου σώματός σου λήψεώς σοι ὀφείλεται, οὗτινος ἀξίωμα οὐδεὶς τῶν ἀνθρώπων ἐξηγεῖσθαι δυνάμενος εὑρίσκεται. ἀλλὰ τί ἐννοήσω ἐν ταύτῃ τῇ κοινωνίᾳ, ἐν τῇ προσελεύσει πρὸς τὸν κύριόν μου, ὃν μὲν δεόντως τιμᾶν οὐχ οἷός τέ εἰμι, εὐλαβῶς δὲ ἀναδέχεσθαι ἐπιποθῶ; τί βέλτιον καὶ σωτηριωδέστερον ἐνθυμηθήσομαι, ἢ ἐμαυτὸν ὅλως ταπεινῶν ἐνώπιόν σου, καὶ τὴν ἄπειρον ἀγαθότητά σου ὑψῶν ὑπὲρ ἐμοῦ; ἐπαινῶ σε, ὁ θεός μου, καὶ ὑψῶ εἰς τὸν αἰῶνα, ὑπερορῶ με, καὶ ὑποτάττω σοι εἰς τὸ βάθος τῆς εὐτελείας μου.

---

γ. Ἰδοὺ σὺ ὁ ἅγιος τῶν ἁγίων, κἀγὼ ὁ ῥύπος τῶν ἁμαρτιῶν. ἰδοὺ σὺ κλίνεις σε πρός με τὸν ἀνάξιον ὄντα τοῦ ἐπιβλέπειν σε. ἰδοὺ σὺ ἔρχῃ πρός με, σὺ ἐθέλεις παρεῖναί μοι, σὺ καλεῖς εἰς τὴν εὐωχίαν σου· σὺ βούλει διδόναι μοι τὴν οὐράνιον βρῶσιν καὶ τὸν τῶν ἀγγέλων ἄρτον τοῦ φαγεῖν· οὐκ ἄλλον δήπου γινόμενον, ἢ σεαυτόν, ἄρτον ζῶντα, τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα, καὶ τῷ κόσμῳ τὴν ζωὴν διδόντα.

---

δ. Ἰδοὺ, πόθεν ἡ ἀγάπη προέρχεται, ποία ἀξίωσις ἐκλάμπει, ὡς μεγάλαι εὐχαριστίαι καὶ ἔπαινοί σοι ὑπὲρ τού-

β. β: δ. κεφ: β. στιχ. δ. ἀχτερ. ιη ἐκ: ς.
τῶν ὀφείλονται. ὡς σωτηριώδης καὶ
χρήσιμος ἡ βουλή σου τοῦτο συντάξ-
αντος, ὡς ἡ θεία καὶ τερπνὴ εὐωχία
τοῦ σεαυτὸν εἰς τὴν βρῶσιν δωρη-
σαμένου. ὡς θαυμαστὴ ἡ πρᾶξίς σου
κύριε, ὡς δυνατὴ ἡ ἰσχύς σου, ὡς ἀ-
πόρρητος ἡ ἀλήθειά σου. εἶπες γὰρ
καὶ πάντα ἐγενήθη· καὶ τοῦτο ἐγενήθη,
ὅ,τι αὐτὸς ἐνετείλω.

---

ε. Θαυμάσιον χρῆμα, ἀξιόπιστόν τε καὶ
πάσης συνέσεως ὑπερέχον· ὅτι σὺ κύ-
ριε ὁ θεός μου, ὁ ἀληθινὸς θεὸς καὶ ἄνθρω-
πος, ὑπὸ μικρῷ εἴδει τοῦ ἄρτου καὶ τοῦ
οἴνου ὅλως κατέχῃ, καὶ ἄνευ ἀναλώσε-
ως ὑπὸ τοῦ λαμβάνοντος ἐσθίῃ. σὺ
κύριε τῶν πάντων, ὁ μηδενὸς χρεί-
αν ἔχων διὰ τοῦ μυστηρίου σκηνοῦν ἐν
ἡμῖν ἠθέλησας. διαφύλαξον τὴν καρ-
δίαν μου καὶ τὸ σῶμά μου ἄσπιλον, ἵ-
να εὐθύμως καὶ καθαρᾷ συνειδήσει τὰ
μυστήριά σου πλεονάκις τελέσαι, καὶ εἰς
τὴν αἰώνιον σωτηρίαν μου λαβεῖν δυ-
νηθῶ, ἅτινα μάλιστα εἰς τὴν τιμὴν
σου καὶ ἀΐδιον μνημόσυνον ἐκύρωσας
καὶ διέταξας.

5. Χαῖρε ἡ ψυχή μου, καὶ εὐχαρίστει
τῷ θεῷ ὑπὲρ τοῦ οὕτως εὐλογίμου
δώρου, καὶ τῆς ἐξαιρέτου παραμυθίας τῆς
ἐν τῇδε τῇ τῶν δακρύων κοιλάδι σοι
καταλειφθείσης. ὁσάκις γὰρ τοῦτο
μυστήριον ἀναλαμβάνεις, καὶ τὸ τοῦ Χρι-
στοῦ σῶμα δέχῃ, τοσάκις τὰ τῆς λυ-
τρώσεώς σου ἐργάζῃ, καὶ πασῶν τῶν
ἀξιῶν τοῦ Χριστοῦ κοινωνὸς ἀποβαίν-
εις. ἡ γὰρ τοῦ Χριστοῦ ἀγάπη μηδέπο-
τε μειοῦται, καὶ τὸ τοῦ ἱλασμοῦ αὐτοῦ
μέγεθος μηδέποτε ἐκκενοῦται.
διόπερ τῇ τοῦ νοὸς καινῇ ἀνανεώσει
εἰς τοῦτό σε ἀεὶ παρασκευάσαι, καὶ τὸ
μέγα μυστήριον προσεχεῖ διασκέ-
ψει σταθμᾶσθαι ὀφείλεις. οὕτω μέγα,
καινόν, καὶ ἡδύ σοι λειτουργοῦντι, ἢ τῆς
λειτουργίας ἀκούοντι δοκεῖν χρή, ὥ-
σπερανεὶ αὐθημερὸν ὁ Χριστὸς πρῶ-
τον εἰς τὴν παρθένου κοιλίαν κατα-
βὰς ἐνηνθρώπησεν, ἢ ἐν τῷ σταυρῷ
κρεμάμενος ὑπὲρ τῆς τῶν ἀνθρώπων
σωτηρίας ἔπαθε καὶ ἀπέθανε.

---

Κεφ: γ'.

Ὅτι τὸ πολλάκις κοινωνεῖν συμφέρει.

Η φωνὴ τοῦ μαθητοῦ.

α. Ἰδοὺ ἐγὼ πρός σε ἔρχομαι κύριε, ἵν'
ἐκ τοῦ δώρου σου καλῶς ἔχω, καὶ εὐφρανθῶ

βιβ. ά. κεφ: γ. ςιχεῖα. αχπγ. ιη Σχ: 5.
ἐν τῇ ἁγίᾳ εὐωχίᾳ σου, ἣν ἡτοίμασας ἐν
τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός.
ἰδοὺ ἐν σοὶ πᾶν ἐστιν ὅ,τι δύναμαι καὶ
ὀφείλω ἐπιποθεῖν· σὺ σωτηρία μου,
καὶ λύτρωσις, ἐλπὶς καὶ ἰσχὺς, εὐπρέπεια
καὶ δόξα. εὔφρανον οὖν σήμερον τὴν ψυχὴν
τοῦ δούλου σου, ὅτι πρὸς σὲ, κύριε Ἰησοῦ,
τὴν ψυχήν μου ἦρα. δέομαι νῦν εὐ-
λαβῶς καὶ ἀτελεσίμως σε ἀναδέξασθαι,
ἐπιποθῶ σε εἰς τὸν οἶκόν μου εἰσαγα-
γεῖν, ὅπως σὺν τῷ Ζακχαίῳ ὑπὸ σοῦ
εὐλογεῖσθαι, καὶ τοῖς τοῦ Ἀβραὰμ υἱοῖς
συναριθμεῖσθαι ἀξιωθῶ. ἡ ψυχή μου
τοῦ σώματός σου ἐπιθυμεῖ, ἡ καρδί-
α μου συνενοῦσθαί σοι γλίχεται.

---

ιδ. ς.

β. Παράδλος σε ἐμοί, καὶ ἀρκεῖ, χωρὶς
γάρ σου, οὐδεμία παράκλησις ἰσχύει.
ἄνευ σου εἶναι οὐ δύναμαι, καὶ ἄνευ τῆς
ἐπισκέψεώς σου οὐχ οἷός εἰμι ζῆν.
διόπερ χρὴ πολλάκις σοι προσελθόντα
εἰς θεραπείαν τῆς σωτηρίας μου ἀπο-
δέξασθαί σε, μήποτε ἐν τῇ ὁδῷ ἐκλεί-
ψω, τῆς οὐρανίου τροφῆς ἀποστερηθείς.
οὕτω γὰρ σὺ ἐλεεινότατε Ἰησοῦ, τοῖς

λαοὺς εὐαγγελιζόμενος, καὶ ποικίλας
νόσους θεραπεύων, ἔλεξάς ποτε· οὐκ ἐθέ-
λω αὐτοὺς νήστεις ἀφεῖναι εἰς οἶκον αὐτῶν,
μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ· τοῦτον
οὖν τρόπον χρῆσαι μοι, ὁ ὑπὲρ τῶν
πιστῶν παρακλήσεως ἐν τῷ μυστηρίῳ
σε καταλιπών. σὺ γὰρ ἡ θεία ἑστίασις
τῆς ψυχῆς, καὶ ὁ ἀξίως σε φαγὼν, τῆς αἰω-
νίου δόξης μεθέξει καὶ κληρονομήσει.
ἀναγκαῖος δή ἐστιν ἐμοὶ τῷ οὕτω πολ-
λάκις ~~ἀλιτένοντι~~ ὀλισθαίνοντι καὶ ἁμαρ-
τάνοντι, οὕτω ταχέως χλιαινομένῳ καὶ
ἐκλείποντι, διὰ τῶν συχνῶν δεήσεων
καὶ ὁμολογήσεων, καὶ τῆς τοῦ σώματός σου
ἱερᾶς λήψεως ἀνανεοῦσθαι, καθαρίζεσθαι,
καὶ ἀνάπτεσθαι, μήποτε διὰ πλείονος ἀπ-
έχων τῆς ἁγίας προαιρέσεως ἀπέσω.

---

γ. Η γὰρ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ
πονηρὰ ἐκ νεότητος αὐτοῦ ἔγκειται, καὶ
τῆς θείας θεραπείας οὐκ ἀντιλαμβαν-
ούσης, ὁ ἄνθρωπος εἰς τὰ χείρω εὐθέως
καταπίπτει. ἡ τοίνυν ἁγία κοινωνία
τοῦ κακοῦ ἀποτρέπει, καὶ ἐν τῷ ἀγαθῷ
ἐνδυναμοῖ. εἰ γὰρ νῦν οὕτω πολλάκις
ῥᾳθυμῶ καὶ χλιαίνομαι, κοινωνῶν ἢ
λειτουργῶν, τί ἂν ἐγίνετο, εἰ μὴ τὸ ἴαμα

βιβ: δ. κεφ: γ. στιγμὴ γ. α. χπγ. ιθ Σα: ζ.

ὐ λαμπράνοντος, οὐδὲ τοιαύτην βοήθει-
αν ζητοῦντος; ἐν ᾗ καὶ καθ' ἑκάστην οὐκ ἐπι-
τήδειος, οὐδ' εἰς τὸ λειτουργεῖν ἕτοι-
μος ὑπάρχω, ὅμως ἐπιχειρήσω τοῖς
εὐκαίροις καιροῖς τὰ θεῖα μυστήρια
λαμβάνειν, καὶ ταύτης χάριτος κοινωνεῖν.
αὕτη γὰρ μία τῶν ἐξαιρέτων παρα-
μυθειῶν ἐστὶ τῆς πιστῆς ψυχῆς, ἐφ' ὅσον
ἐν τῷ θνητῷ σώματι ἀπὸ σοῦ ἐκδημεῖ,
ὅπως πλεονάκις μεμνημένη τοῦ θεοῦ αὐ-
τῆς, τὸν ἀγαπητὸν αὐτῆς εὐλαβῶς ὑπο-
δέξηται.

---

δ. Ω τῆς θαυμαστῆς ἀξιώσεως τῆς πρὸς
ἡμᾶς εὐσπλαγχνίας σου, ὅτι σὺ κύριε
ὁ θεὸς, κτιστὴς καὶ ζωοποιὸς πάντων
πνευμάτων, πρὸς πενιχρὰν ψυχὴν
ἔρχεσθαι, καὶ σὺν ὅλῃ τῇ θεότητι καὶ ἀν-
θρωπότητί σου τὴν πεῖναν αὐτῆς πι-
αίνειν ἀξιοῖς. ὢ τοῦ εὐτυχοῦς νοὸς καὶ
τῆς μακαρίας ψυχῆς τῆς ἀξιωμένης σε
τὸν κύριον τὸν θεὸν αὐτῆς εὐλαβῶς ὑπο-
δέξασθαι, καὶ ἐν τῇ ὑποδοχῇ σου, τῆς πνευ-
ματικῆς χαρᾶς ἐμπλησθῆναι. ὡς μέ-
γαν κύριον ὑποδέχεται, ὡς ἀγαπητὸν

ξένον εἰσάγει, ὡς ἡδέα ἑταῖρον δέχεται, ὡς πιστὸν φίλον λαμβάνει, ὡς ὡραῖον καὶ εὐγενῆ νυμφίον παρὰ πάντας ἀγαπητοὺς, καὶ ὑπὲρ πάντα ἐπιθυμητὰ προσφιλῆ περιβάλλει. σιγάτωσαν ἀπὸ προσώπου σου ὦ ἡδύτατε ἀγαπητέ μου, ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν. πᾶς γὰρ αἶνος, καὶ εὐπρέπεια, ἣν ἔχουσιν ἐκ τῆς ἀξιώσεως τῆς σῆς δαψιλείας ἐστί, καὶ οὐκ ἀφίξονται τῆς εὐπρεπείας τοῦ ὀνόματός σου, οὗτινος σύνεσις ἐστὶν ἄπειρος.

---

## Κεφ: δ:

### Ὅτι πολλὰ ἀγαθὰ τοῖς εὐλαβῶς κοινωνοῦσι παρέχεται.

#### Ἡ φωνὴ τοῦ μαθητοῦ.

α. Κύριε ὁ θεός μου, πρόφθασον τὸν δοῦλόν σου ἐν εὐλογίαις χρηστότητός σου, ἵνα τῷ μεγαλοπρεπεῖ μυστηρίῳ σου ἀξίως καὶ εὐλαβῶς προσελθεῖν ἀξιωθῶ. ἔγειρον τὴν καρδίαν μου εἰς σε, καὶ τὴν δεινὴν νάρκην ἀπόλυσόν με· ἐπίσκεψαί με ἐν τῷ σωτηρίῳ σου, τοῦ ἐν τῷ πνεύματι γεύσασθαι τῆς ἡδύτητός σου, τῆς ἐν τῷ μυστηρίῳ τούτῳ, ὥσπερ ἐν πηγῇ, ἐκπλέως ἀποκρυπτομένης. ἔτι δὲ φώτισον τοὺς ὀφθαλμούς μου, τοῦ τοσοῦτο μυστήριον θεωρεῖν, καὶ εἰς τὸ ἀναμφισβητήτῳ πίστει πιστεύειν αὐτὸ κρατύ-

βιβ: δ. κεφ: δ. συγμία. ἀχπν. ιθ. Ἐκ: ζ.
ωσόν με. ἔστι γὰρ ἐργασία σου, οὐκ ἀνθρω-
πίνη ἐνέργεια· ἁγία διάταξίς σου, οὐ τοῦ
ἀνθρώπου εὕρεσις ἐστιν. οὐ γὰρ εἰς τὸ
ταῦτα χωρεῖν καὶ γινώσκειν ἐπιτήδει-
ός τις καθ' ἑαυτὸν εὑρίσκεται, ἅτινα
καὶ τῆς ἀγγελικῆς λεπτότητος ὑπερφαί-
νει. τί οὖν ἐγὼ ὁ ἀνάξιος ἁμαρτωλὸς,
γῆ καὶ σποδὸς ὤν, περὶ τοῦ ὑψηλοῦ καὶ
ἁγίου μυστηρίου ἐξετάζειν καὶ χωρεῖν δυ-
νήσομαι;

---

β. Κύριε, ἐν ἁπλότητι τῆς καρδίας μου, ἐν
ἀγαθῇ καὶ βεβαίᾳ πίστει, καὶ ἐν τῷ προστάγμα-
τί σου, πρὸς σὲ σὺν ἐλπίδι καὶ εὐλαβείᾳ
προσέρχομαι, ἀληθῶς πιστεύων, ὅτι σὺ
πάρει ἐνθάδε ἐν τῷ μυστηρίῳ, ὁ ἄνθρω-
πος καὶ ὁ θεός. ἐθέλεις τοίνυν ὑπ' ἐμοῦ
ἀναλαμβάνεσθαι, καὶ ἐμαυτόν σοι ἀγαπητῶς
ἑνοῦσθαι· διὸ τὴν προσήνειάν σου ἀξιῶ, καὶ
ἰδίαν μοι χάριν εἰς τοῦτο δίδοσθαι δέομαι,
τοῦ ὅλον με ἐν σοὶ τήκεσθαι, τῇ τε ἀγάπῃ
διεκχεῖν, καὶ μηδεμιᾷ ἄλλῃ παραμυθίᾳ
ἔτι ἐπιμέλεσθαι. ἔστι γὰρ τοῦτο ὕψιστον καὶ
ἀξιώτατον μυστήριον, σωτηρία τῆς ψυχῆς
καὶ τοῦ σώματος, καὶ πάσης πνευματικῆς

νόσου φάρμακον, ἐν ᾧ αἱ κακίαι θε-
ραπεύονται, τὰ πάθη χαλιναγωγοῦνται,
οἱ πειρασμοὶ νικῶνται, καὶ μειοῦνται·
χάρις μεῖζον ἐγχεῖται, ἡ καταρχθεῖσα
ἀρετὴ αὐξάνεται, ἡ πίστις βεβαιοῦται,
ἡ ἐλπὶς ἐνδυναμοῦται, καὶ ἡ ἀγάπη ἐκπυ-
ροῦται καὶ πλατύνεται.

---

γ. Πολλὰ γὰρ ἀγαθὰ ἐδωρήσω, καὶ ἔτι πλε-
ονάκις δωρῇ ἐν τῷ μυστηρίῳ, τοῖς ἀγα-
πητοῖς σου εὐλαβῶς κοινωνοῦσιν, ὁ θεός
μου, ἀντιλήπτωρ τῆς ψυχῆς μου, ἐπισκευ-
αστὴς τῆς ἀνθρωπίνης ἀσθενείας, καὶ δοτὴρ
πάσης τῆς ἔσω παρακλήσεως. αὐτοῖς
γὰρ πολλὴν παράκλησιν κατὰ ποικί-
λης θλίψεως ἐγχέεις, καὶ ἐκ τοῦ βάθους
τῆς ἰδίας καταβολῆς εἰς τὴν ἐλπίδα
τοῦ ὑπερασπισμοῦ σου ἐγείρεις, καὶ καινῇ
τινι χάριτι αὐτοὺς ἔσω ἀναψύχεις καὶ
φωτίζεις· ὅπως οἱ πρῶτον πολυμέρι-
μνοι καὶ ἀδιάθετοι ὄντες πρὸ τῆς κοινωνί-
ας ᾐσθάνοντο· εἶτα τῆς βρώσεως καὶ τῆς
πόσεως τῆς οὐρανίου κορεσθέντες, εἰς τὸ
βέλτιον ἑαυτοὺς μεταβληθέντας εὕ-
ρωσιν. οὕτω δὲ τὰ τῶν ἐκλεκτῶν σου
διοικεῖς, τοῦ ἀληθῶς αὐτοὺς γινώσκειν,
καὶ φανερῶς πειρᾶσθαι, ὅσον ἂν αὐτοὶ
ἐξ αὐτῶν ἀσθενήσωσι, καὶ ὅσον ἀγαθῶν

βιβ: δ. κεφ: δ. στιχ: γ. ἀρχ. πγ. ιθ. ἐκ: ζ.

καὶ χάριτος ἐκ σοῦ ἐπιτύχωσιν. ὅτι ἐξ ἑαυτῶν μὲν ψυχροὶ, σκληροὶ, καὶ ἀκηδεῖς· ἐκ σοῦ δὲ ζεστοὶ, πρόθυμοι καὶ εὐλαβεῖς εἶναι ἀξιοῦνται. τίς γὰρ πρὸς τὴν τῆς ἡδύτητος πηγὴν ταπεινῶς προσερχόμενος, ὀλίγην γε ἡδύτητα ἐκεῖθεν οὐκ ἀνακομίζεται; ἢ τίς πυρὶ μεγάλῳ παριστάμενος οὐκ ὀλίγον ἐξ αὐτοῦ θερμαίνεται; σὺ δὲ πηγὴ εἶ, ἡ ἀεὶ πλήρης καὶ ὑπερεγέμουσα, καὶ πῦρ ἀεὶ καιόμενον καὶ οὔποτε σβεννύμενον.

---

δ. Διὰ ταῦτα εἰ οὐκ ἔξεστί μοι ἐκ τοῦ τῆς πηγῆς πληρώματος ἀντλῆσαι, οὐδὲ μέχρι τῆς πλησμονῆς πιεῖν, ὅμως τὸ στόμα μου τῇ τῆς οὐρανίου σύριγγος ὀπῇ προσάψω, τοῦ μικράν γε ῥανίδα λαβεῖν, εἰς τὸ δίψαν μου καταψύξαι, ἵνα μὴ παντελῶς ξηρανθῶ. ἔτι δὲ ἂν καὶ οὔπω ὅλως οὐράνιος καὶ οὕτω διάπυρος, τῶν Χερουβὶμ καὶ Σεραφὶμ δίκην, εἶναι ἰσχύω, ὅμως πειρῶ τὴν εὐλάβειαν σπουδάζειν, καὶ τὴν καρδίαν μου ἑτοιμάζειν ἐπιχειρήσω, ὅπως μικράν γε φλόγα τῆς θείας ἐμπρήσεως ἐκ τῆς ταπεινῆς λήψεως τοῦ ζωοποιοῦ μυστηρίου συμπορίσω. ὅ,τι δὲ με

ἐπιβλέπω ὦ Ἰησοῦ ἀγαθὲ σῶτερ ἁγιώ-
τατε σοῦ ὑπὲρ ἐμοῦ εὐμενῶς καὶ ἠπίως
ἐκπλήρωσον, ὃς πάντας πρὸς σὲ καλέσαι
ἠξίωσας, λέγων· δεῦτε πρός με πάντες
οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ
ἀναπαύσω ὑμᾶς.

---

ε. α.

ε. Ἐγὼ μὲν ἐν ἱδρῶτι τοῦ προσώπου μου
κοπιῶν καὶ καρδιαλγιῶν, ταῖς ἁμαρτίαις βα-
ρύνομαι, τοῖς πειρασμοῖς ἐνοχλοῦμαι, πολ-
λοῖς κακοῖς παθήμασιν ἐμπλεχθεὶς πι-
έζομαι, καὶ οὐκ ἔστι βοηθῶν, οὐδεὶς ῥυόμενος,
ἢ σώζων, πλὴν σὺ κύριε ὁ θεὸς σωτήρ μου
ᾧτινί με καὶ πάντα τὰ ἐμὰ ἐπιτρέπω,
ἵνα με φυλάξῃς, καὶ εἰς ζωὴν αἰώνιον ἀ-
ναγάγῃς. ὑπόδεξαί με εἰς τὸν αἶνον καὶ
δόξαν τοῦ ὀνόματός σου, ὃ τὸ σῶμά σου καὶ
αἷμα εἰς τὴν βρῶσιν καὶ πόσιν μοι ἑτοί-
μασας. παράσχου κύριε ὁ θεὸς ὁ σωτήρ
μου, συχνῇ λήψει τοῦ μυστηρίου σου τὸ τῆς
εὐλαβείας μου μᾶλλον αὐξάνεσθαι.

---

## Κεφ: ε.

### Περὶ τοῦ ἀξιώματος τοῦ μυστηρίου, καὶ τῆς ἱερατικῆς καταστάσεως.

Η φωνὴ τοῦ κυρίου.

α. Εἰ τὴν ἀγγελικὴν καθαρότητα, καὶ τὴν
τοῦ ἁγίου Ἰωάννου Βαπτιστοῦ ἁγιοσύνην εἶχες,

βιβ: δ. κεφ: ε. στιγμὴ ά. αχπγ. κ ξκ: α.

οὐκ ἂν ἄξιος ἐγίνου τοῦτο μυστήριον λαβεῖν, ἢ διοικεῖν. οὐ γὰρ τοῦτο τῇ τῶν ἀνθρώπων ἀξίᾳ ὀφείλεται ὅτι ὁ ἄνθρωπος εὐλογεῖ καὶ διοικεῖ τὸ μυστήριον τοῦ Χριστοῦ, καὶ λαμβάνει εἰς βρῶσιν τὸν ἄρτον ἀγγέλων. μέγα μυστήριον, καὶ μέγα ἀξίωμα τῶν ἱερέων, οἷς ἐδόθη, ὅπερ τοῖς ἀγγέλοις οὐ συγκεχώρηται. μόνον γὰρ οἱ ἱερεῖς οἱ νομίμως ἐν τῇ ἐκκλησίᾳ χειροτονηθέντες, ἐξουσίαν ἔχουσι τοῦ λειτουργεῖν, καὶ τὸ τοῦ Χριστοῦ σῶμα εὐλογεῖν. ὁ μὲν γὰρ ἱερεὺς ὑπηρέτης ἐστὶ τοῦ θεοῦ, χρώμενος τῷ λόγῳ τοῦ θεοῦ, διὰ τοῦ προστάγματος καὶ διατάξεως τοῦ θεοῦ. ὁ δὲ θεὸς ἐκεῖ ἀρχικὸς αἴτιος καὶ ἀόρατος ἐργάτης ἐστίν, ᾧ ὑποτάσσεται πᾶν ὅ,τι ἂν βουληθῇ, καὶ ὑπακούει πᾶν ὅ,τι ἂν κελεύσῃ.

---

β. Μᾶλλον οὖν πιστεύειν ὀφείλεις τῷ θεῷ παντοκράτορι, ἐν τούτῳ τῷ ἐπιφανεστάτῳ μυστηρίῳ, ἢ τῇ ἰδίᾳ αἰσθήσει, ἢ ὁρατῷ τινι σημείῳ. διόπερ σὺν φόβῳ καὶ αἰδοῖ πρὸς τοῦτο ἔργον δεῖ προσελθεῖν. ἔπεχέ σοι, καὶ ὅρα τίνος ὑπηρεσία ἐδόθη

σοι μετ' ἐπιθέσεως τῶν χειρῶν τοῦ ἐπι-
σκόπου. ἰδοὺ ἱερεὺς ἐγεννήθης, καὶ εἰς τοῦ
λειτουργεῖν ἱερώθης, ὅρα νῦν, ὅπως πι-
στῶς καὶ εὐλαβῶς ἐν τῷ καιρῷ αὐτοῦ, τῷ
θεῷ τὴν θυσίαν προσφέρῃς, καὶ σεαυτὸν
ἄμεμπτον παρέχῃς. οὐκ ἐκούφισας τὸ
φορτίον σου, ἀλλὰ νῦν στενοτέρῳ συν-
δέσμῳ τῆς παιδείας ἐδέθης, καὶ μείζονι
τῆς ἁγιοσύνης τελειότητι κατέχῃ.
τὸν ἱερέα πάσαις ἀρεταῖς κοσμεῖσθαι,
καὶ τοῖς ἄλλοις τοῦ καλοῦ βίου τύπον πα-
ρέχειν δεῖ. ἡ αὐτοῦ ἀναστροφὴ μὴ γέ-
νοιτο κατὰ τὰς δημοτικὰς καὶ κοινὰς ὁ-
δοὺς τῶν ἀνθρώπων, ἀλλὰ σὺν τοῖς ἀγ-
γέλοις ἐν τῷ οὐρανῷ, ἢ σὺν τοῖς τελεί-
οις ἀνδράσιν ἐπὶ τῆς γῆς.

---

γ'. Ὁ ἱερεὺς τὰς ἁγίας ἐσθῆτας ἐνδεδυ-
μένος, τοῦ Χριστοῦ τοποτηρητής ἐστι, τοῦ
θεοῦ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ
ἱκετικῶς καὶ ταπεινῶς ἀξιῶσαι. πρόσθεν
καὶ ὀπίσω ἔχει τὸ τοῦ κυριακοῦ σταυροῦ ση-
μεῖον τοῦ ἀεὶ μνησθῆναι τοῦ πάθους τοῦ Χρι-
στοῦ. πρὸ ἑαυτοῦ ἐν τῷ φελωνίῳ τὸν σταυ-
ρὸν βαστάζει, τοῦ ἐπιμελῶς τὰ ἴχνη τοῦ
Χριστοῦ ὁρᾶν καὶ θερμῶς ἀκολουθεῖν.
ὀπίσω αὐτοῦ τῷ σταυρῷ ἐσφραγίσθη, τοῦ

βιβ: ά. κεφ: έ. στιχ: γ΄. ἀρχ. πγ. κ΄ ξκ: α.

πάσας συμφορὰς ὑπ᾽ ἄλλων γενομένας πρᾴως ὑπὲρ τοῦ θεοῦ ὑπομένειν. πρὸ ἑαυτοῦ τὸν σταυρὸν βαστάζει, τοῦ τὰ ἴδια ἁμαρτήματα πενθεῖν· ὀπίσω αὐτοῦ, τοῦ καὶ τὰ τῶν ἄλλων πλημμελήματα διὰ τοῦ συμπάσχειν διαδακρύσαι, καὶ γνῶναι, ὅτι μεταξὺ τοῦ θεοῦ καὶ ἁμαρτωλοῦ μεσίτης κατεστάθη· κἂν τῇ δεήσει καὶ ἁγίᾳ προσφορᾷ οὐ ῥαθυμήσει, ἕως ἂν χάριτος καὶ ἐλέους ἐπιτυχεῖν ἀξιωθῇ. ὁ ἱερεὺς λειτουργῶν, τὸν θεὸν τιμᾷ, τοὺς ἀγγέλους εὐφραίνει, τὴν ἐκκλησίαν οἰκοδομεῖ, τοῖς ζῶσι βοηθεῖ, τοῖς τεθνηκόσι τὴν ἀνάπαυσιν παρέχει, καὶ ἑαυτὸν πάντων ἀγαθῶν κοινωνὸν κατεργάζεται.

---

## Κεφ: ϛ΄.

### Ἐρώτημα περὶ τῆς ἀσκήσεως τῆς πρὸ τῆς κοινωνίας.

Η φωνὴ τοῦ μαθητοῦ.

α΄ **Τ**ὸ ἀξίωμά σου κύριε, καὶ τὴν εὐτέλειάν μου λογιζόμενος σφόδρα τρομῶ, κἀν ἐμοὶ καταισχύνομαι. ἐὰν μὲν γὰρ οὐ προσέρχομαι τὴν ζωὴν φεύγω. εἰ δ᾽ ἀναξίως προσδέχομαι, προσκόπτω. τί οὖν ποιήσω; ὁ θεός μου, βοηθός

Βιβ: δ. κεφ: ϛ. στιγμὴ ά. αχπγ. ἐ ἔκ: α.
μου, καὶ σύμβουλός μου ἐν ταῖς ἀνάγκαις;

β. Σὺ ἐκ τὴν ἔνδειαν ὁδὸν ἐδίδαξόν με. πρό-
θεσο βραχέως ἄσκησίν τινα τῇ ἁγίᾳ
κοινωνίᾳ προσήκουσαν. λυσιτελεῖ γὰρ
εἰδέναι πῶς ἂν δήπου τὴν καρδίαν μου
εὐλαβῶς καὶ αἰδεσίμως παρασκευάσαι
ὀφείλω, τοῦ τὸ μυστήριόν σου σωτηρί-
ως ὑποδέξασθαι, ἢ ταύτην μεγάλην
καὶ θείαν θυσίαν τελέσαι.

---

## Κεφ: ζ.

**Π**ερὶ τῆς ἐξετάσεως τῆς ἰδίας συνει-
δήσεως, καὶ προθέσεως τῆς ἐπανορ-
θώσεως. Η φωνὴ τοῦ ἀγαπητοῦ.
κά. β.

α. **Π**ρὸ πάντων οὖν μεγίστῃ ταπεινότητι
τῆς καρδίας, καὶ ἱκετικῇ αἰδοῖ σὺν πλήρει
πίστει καὶ εὐσεβεῖ προθέσει τῆς τιμῆς τοῦ
θεοῦ, δεῖ τὸν ἱερέα τοῦ θεοῦ πρὸς τὸ λειτουρ-
γεῖν, διοικεῖν τε καὶ λαμβάνειν τοῦτο μυ-
στήριον προσέρχεσθαι. τὴν συνείδησίν σου
ἐπιμελῶς ἐξέτασον, καὶ κατὰ δύναμίν σου
ἀληθινῇ συντρίψει καὶ ταπεινῇ ἐξομολο-
γήσει οὕτως αὐτὴν καθάρισον καὶ ἅγνισον, ὡς
μηδὲν ἔχεις δεινὸν, ἢ οἶδας ὅτι σε ἂν.

βιβ: ά. κεφ: ζ. στιχμὴ ά. α χπγ. κα. Εξ: β.
κατανύξη, ἤπου τὴν ἐλευθέραν πρόσοδον
ἐμποδίση. ἀπαρεσκέτω σοι γενικῶς πάν-
τα τὰ ἁμαρτήματά σου, καὶ ἐπὶ ταῖς κα-
θημεριναῖς παρεκβάσεσι μᾶλλον ἀ-
δικῶς λυποῦ καὶ στέναζε, καὶ τοῦ καιροῦ ἐών-
τως, τῷ θεῷ ἐν τῇ τῆς καρδίας ἀποκρύ-
φῳ πάσας τῶν παθημάτων σου ἀθλιό-
τητας ἐξομολόγει.

---

β. Στέναζε καὶ λυποῦ, ὅτι οὕτω σαρκικὸς καὶ
κοσμικὸς ἔτι γίνῃ. οὕτω τοῖς πάθεσι προσ-
αθέμενος. οὕτω πλήρης τῶν ἐπιθυμητικῶν
κινήσεων. οὕτως ἀφύλακτος ταῖς ἔξω αἰσθή-
σεσιν. οὕτω συχνῶς εἰς πολλὰς φαντασίας
ἐμπλεχθεῖς. οὕτως εὐκατάφορος πρὸς τὰ
ἔξω. οὕτως ἀμελὴς τῶν ἔσω. οὕτω κοῦφος
εἰς γέλωτα καὶ ἄνεσιν. οὕτω σκληρὸς εἰς
κλαυθμὸν καὶ σύνυξιν. οὕτω πρόθυμος
πρὸς τὰ χαυνότερα, καὶ τὰ τῇ σαρκὶ συμ-
φέροντα. οὕτω ῥάθυμος εἰς τὴν ἀκρίβει-
αν καὶ ζέσιν. οὕτω πολυπράγμων ἀκούειν
τὰ καινά, καὶ βλέπειν τὰ τερπνά. οὕτω
πάρετος ἀποδέχεσθαι τὰ ταπεινὰ καὶ εὐ-
τελῆ. οὕτως ἐπιθυμητικὸς τοῦ πολλὰ ἔ-
χειν. οὕτω φειδωλὸς διδόναι. ~~οὕτως δε-~~

ἀκρατὴς· οὕτω ῥυπαρὸς κατέχειν· οὕτως
ἀπερίσκεπτος λαλεῖν· οὕτως ἀκρατὴς τοῦ
σιγᾶν· οὕτως ἄκοσμος τοῖς ἤθεσιν· οὕτως
ἄκαιρος ταῖς πράξεσιν· οὕτως ἐκκεχυμέ-
νος εἰς βρῶσιν· οὕτω κωφὸς πρὸς τὸν λόγον
τοῦ θεοῦ· οὕτως ὠκὺς εἰς τὴν ἀνάπαυσιν
οὕτω βραδὺς εἰς τὸν πόνον· οὕτως ἄγρυπ-
νος εἰς τὰς φλυαρίας· οὕτω κάθυπνος εἰς
τὰς ἱερὰς ἀγρυπνίας· οὕτω ταχὺς εἰς τὸ
τέλος· οὕτως ἀλήτης ἐν τῷ προσεύχειν· οὕ-
τως ἀμελὴς τοῦ τὰς ὥρας τελεῖν· οὕτω
χλιαρὸς ἐν τῷ λειτουργεῖν· οὕτω ξηρὸς ἐν
τῷ κοινωνεῖν· οὕτω ταχέως περισπασθεὶς
οὕτω σπανίως ἐν σοὶ τελέως συλλεχθεὶς
οὕτως ὀξύχολος· οὕτω δυσάρεστος· οὕτω ἐ-
πιρρεπὴς εἰς τὸ κρίνειν· οὕτως αὐστηρὸς
εἰς τὸ ἐπιτιμᾶν· οὕτω γηθόσυνος ἐν τῇ
εὐτυχίᾳ· οὕτως ἀσθενὴς ἐν τῇ ἀτυχίᾳ·
οὕτω πολλάκις πολλὰ μὲν ἀγαθὰ προαιρού-
μενος, ὀλίγα δ' ἀποτελῶν.

---

γ΄. Ταῦτα καὶ τἄλλα ἐλαττώματά σου σὺν
ὀδύνῃ καὶ πολλῇ δυσαρεσκείᾳ σου τῆς ἰδίας ἀσθε-
νείας ἐξομολογήσας καὶ καταδακρύσας, βε-
βαίως προελοῦ, ἀεὶ ἐπανορθῶσαι τὸν βί-
ον σου, καὶ εἰς βέλτιον προκόψαι. εἶτα με-
τὰ πλήρους ἐπιτροπῆς, καὶ ὅλου θελήματος

βιβ: δ΄. κεφ: ζ΄. σιγμὴ γ. α χ π γ. κα εκ: β.

Πρόσφερε σεαυτόν, εἰς τὴν τιμὴν τοῦ ὀνόματός μου ἐν τῷ θυσιαστηρίῳ τῆς καρδίας σου ὁλόκαυστον αἰώνιον, τὸ δήπου σῶμά σου καὶ τὴν ψυχήν σου ἐμοὶ πιστῶς πιστεύων· ἵν' οὕτως ἀξίως εἰς τὸ τὴν θυσίαν προσενεγκεῖν πλησιάσαι, καὶ τὸ μυστήριον τοῦ σώματός μου σωτηριωδῶς λαβεῖν ἀξιωθῇς.

---

δ. Οὐ γάρ ἐστιν ἀξιωτέρα προσφορὰ καὶ μείζων ἱκανοποιία εἰς τὸ τὰς ἁμαρτίας ἐξαλείφειν, ἢ ἑαυτὸν καθαρῶς καὶ ὅλως μετὰ τῆς θυσίας τοῦ σώματος τοῦ Χριστοῦ ἐν τῇ λειτουργίᾳ καὶ κοινωνίᾳ τῷ θεῷ προσφέρειν. εἰ ὁ ἄνθρωπος τὸ καθ' ἑαυτοῦ μέρος ποιήσει, ὁσάκις ἂν ὑπὲρ συγγνώμης καὶ χάριτός μοι προσέλθῃ, ζῶ ἐγώ, λέγει κύριος, ὃς οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ μᾶλλον ὡς ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὅτι τῶν παραπτωμάτων αὐτοῦ οὐκ ἔτι μνησθήσομαι· ἀλλὰ πάντα αὐτῷ ἀφεθέντα ἔσται.

---

## Κεφ: η΄.

## Περὶ τῆς τοῦ Χριστοῦ προσφορᾶς τῆς ἐν τῷ σταυρῷ, καὶ τῆς ἰδίας ἐπιτροπῆς.

Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

α. Ὥσπερ ἐγὼ ἐν τῷ σταυρῷ ἐκτεταμ-
έναις χερσὶ καὶ γυμνῷ σώματι, ὑπὲρ
τῶν ἁμαρτιῶν σου, τῷ θεῷ τῷ πατρὶ
ἐμαυτὸν ἑκουσίως οὕτω προσήνεγκον,
ὥστε μηδὲν ἐν ἐμοὶ κατελείφθη, ὅτι οὐκ
ἂν εἰς τὴν θυσίαν τοῦ ἱλασμοῦ τοῦ θεοῦ
ἀπεδόθη· ὡσαύτως καὶ σὺ ἐμοὶ αὐτομά-
τως σεαυτόν, εἰς θυσίαν καθαρὰν καὶ ἁγί-
αν καθ' ἑκάστην ἐν λειτουργίᾳ, σὺν πάσῃ
ἰσχύϊ καὶ ὁρμαῖς σου, καθ' ὅσον δύνῃ, ἐν-
δότατα προσφέρειν ὀφείλεις. τί μᾶλ-
λον παρά σου αἰτῶ, ἢ ἵνα σε παντελῶς
ἐμοὶ ἐπιτρέπων σπουδάσῃς; ὅτι οὐδὲν ἄν
χωρὶς σεαυτοῦ περὶ μηδενὸς ποιοῦμαι
οὐ γὰρ τὸ δῶρόν σου, ἀλλά σε δεινῶς
ἐπιποθῶ.

---

β. Ὡς γὰρ ἂν οὐκ ἠγάπας τῷ πάντα ἔ-
χειν, πλὴν ἐμοῦ· οὕτω καὶ ἐμοὶ οὐκ ἀρέσκειν
δυνήσεται, ὅτι οὐδὲν ἂν δῷς, σοῦ οὐ προσεν-
εχθέντος. πρόσφερε σε ἐμοί, καὶ δίδο-
θι ὅλον σε ὑπὲρ τοῦ θεοῦ, καὶ προσφορὰ
εὐάρεστος ἔσται. ἰδοὺ ἐγὼ ὅλον με τῷ πα-
τρὶ ὑπὲρ σοῦ προσήνεγκον, καὶ ὅλον τὸ
σῶμά μου, καὶ αἷμα εἰς βρῶσιν ἔδωκα,
ὅπως ὅλος σὸς γένωμαι, καὶ σὺ ἐμὸς ὢν
διατελέσῃ· ἐὰν δὲ ἐν σοὶ στῇς καὶ ἑκοντὶ
σε τῷ θελήματί μου οὐ προσενέγκῃς, ὁ-
λόκληρος προσφορὰ οὐκ ἔστιν, οὐδὲ παντε-
λὴς ἕνωσις μεταξὺ ἡμῶν ἔσται. διόπερ
πάντα τὰ ἔργα σου προάγειν ὀφείλει ἡ
σεαυτοῦ εἰς τὰς χεῖρας τοῦ θεοῦ ἑκουσία
προσφορά, εἰ τῆς ἐλευθερίας καὶ χάριτος

ἐπιτυχεῖν ἐθέλεις. διὰ ταῦτα γὰρ οὕτως ὀλίγοι φωτισθέντες, καὶ ἔσω ἐλεύθεροι ἀποβαίνουσιν, ὅτι ἑαυτοὺς ὅλως ἀπαρνήσασθαι οὐκ ἐπίστανται. βεβαίως δέδοκταί μοι· ἐὰν μή τις ἀποτάξηται ~~πᾶσι~~ πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. εἰ τοίνυν σὺ μαθητής μου εἶναι ἐθέλεις, πρόσφερε σεαυτόν μοι σὺν πᾶσι πάθεσί σου.

---

## Κεφ: θ.

### Ὅτι ἡμᾶς καὶ πάντα τὰ ἡμῶν τῷ θεῷ ὀφείλομεν προσφέρειν, καὶ ὑπὲρ πάντων προσεύχεσθαι.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

α. Κύριε, ~~προσφέρω~~ σοὶ πάντα τὰ ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, σά ἐστιν. ἐπιποθῶ ἐμαυτόν σοι εἰς ἑκουσίαν θυσίαν προσφέρειν, καὶ ἀιδίως σὸς διαμένειν. κύριε, ἐν ἁπλότητι τῆς καρδίας μου ἐμαυτὸν προσφέρω σοι σήμερον εἰς δοῦλον διαιώνιον, εἰς ὑπηρεσίαν καὶ θυσίαν τοῦ ἀϊδίου αἴνου. ὑπόδεξαί με μετὰ ταύτης τῆς ἁγίας θυσίας τοῦ τιμίου σώματός σου, ἣν σήμερόν σοι ἐν παρουσίᾳ τῶν ἀγγέλων, τῶν ἀοράτως παραστάντων προσφέρω, τοῦ εἶναι ὑπὲρ ἐμοῦ καὶ παντὸς λαοῦ σου εἰς σωτηρίαν.

---

 

β. Κύριε. προσφέρω σοι πάντα τὰ ἁ-
μαρτήματα καὶ πλημμελήματά μου,
ἅπερ ἀπεργασάμην ἐνώπιόν σου καὶ τῶν
ἁγίων ἀγγέλων σου, ἀφ' ἧς ἡμέρας
πρῶτον ἁμαρτεῖν ἠδυνήθην, μέχρι
ταύτης τῆς ὥρας, ἐπὶ τοῦ πραϋντικοῦ θυ-
σιαστηρίου σου· ὅπως σὺ πάντα ἅμα ἐν-
άψῃς καὶ κατακαύσῃς τῷ πυρὶ τῆς ἀγά-
πης σου, καὶ ἐξαλείψῃς πάντας σπίλους
τῶν ἁμαρτιῶν, τήν τε συνείδησίν μου
ἀπὸ παντὸς πλημμελήματος καθαρί-
σῃς, καὶ ἀποδῷς μοι τὴν χάριν σου ἣν
ἁμαρτῶν ἀπώλεσα, πάνθ' ὅλως μοι
συγγνούς, καὶ εἰς τὸ τῆς εἰρήνης φίλημά
με ἐλεημόνως ἀποδεξάμενος.

---

γ. Τί δύναμαι ποιῆσαι ὑπὲρ τῶν ἁμαρ-
τιῶν μου, εἰ μὴ αὐτὰ ἐξομολογήσασθαι
ταπεινῶς καὶ καταδακρῦσαι, καὶ τὸν ἱλασ-
μόν σου ἀδιαλείπτως αἰτῆσαι; δέομαί
σου, εἰσάκουσόν μου ἵλεως, τοῦ ἔμπροσθέν
σου παρισταμένου, ὁ θεός μου. πάντα τὰ
ἁμαρτήματά μου ἐμοὶ μάλιστα ἀπα-
ρέσκει, οὔποτε ἔτι αὐτὰ πρᾶξαι ἐθέλω·
ἀλλ' ἀντὶ αὐτῶν λυποῦμαι καὶ λυπηθή-
σομαι, ἕως ἂν ζήσω, ἕτοιμος ὢν ἐπι-
τίμιον ὑπέχειν καὶ κατὰ δύναμιν
ἱκανοποιῆσαι. ἄφες μοι, ὁ θεός, πα

β.β: δ.κεφ: ϛ. στιγμὴ γ. ἀχπγ. κβ. Σχ: γ.

ἄφες μοι τὰς ἁμαρτίας μου, διὰ τὸ ἅγιον ὄνομά σου. σῶσον τὴν ψυχήν μου, ἣν τῷ τιμίῳ αἵματί σου ἐλυτρώσας. ἰδοὺ, πιστεύω με τῷ ἐλέει σου καὶ ἐμὲ ἐπιτρέπω ταῖς χερσί σου· ποίησον μετά μου κατὰ τὴν χρηστότητά σου, οὐ κατὰ τὴν κακότητα καὶ ἀδικίαν μου.

---

δ. **Π**ροσφέρω σοι καὶ πάντα τὰ ἀγαθά μου καίπερ πάνυ ὀλίγα καὶ ἀτελῆ ὄντα, ἵνα σὺ αὐτὰ ἐπανορθώσῃς καὶ ἁγιάσῃς· ἵνα δεκτὰ ἔχῃς, καὶ εὐάρεστα κατεργασάμενος, ἀεὶ εἰς τὰ βελτίω μετατρέψῃς· ἔτι δὲ εἰς μακάριον καὶ ἐπαινετὸν τέλος, ἐμὲ ὀκνηρὸν καὶ ἄχρηστον ἀνθρώπιον, διαγάγῃς.

---

ε. **Ε**πὶ τούτοις προσφέρω σοι πάσας ἐπιποθήσεις τῶν εὐλαβῶν, τὰς ἀνάγκας τῶν γονέων, τῶν φίλων, τῶν ἀδελφῶν ἀμφοτέρου γένους, πάντων τε ἀγαπητῶν μου· καὶ τῶν ἐμὲ, ἢ τοὺς ἄλλους διὰ τὴν ἀγάπην σου εὐεργετησάντων· καὶ τῶν, τὰς δεήσεις καὶ τὰς λειτουργίας ὑπὲρ αὐτῶν καὶ ἁπάντων σφετέρων, ὑπ' ἐμοῦ λέγεσθαι ἐπιποθησάντων, καὶ αἰτησάντων, κἂν ἐν σαρκὶ ἔτι ζῶσι,

κἂν τῷ αἰῶνι ἤδη τελευτήσωσιν· ὡς πάν-
τες τὴν βοήθειαν τῆς χάριτός σου, ἐπικου-
ρίαν τῆς παραμυθίας, φυλακὴν ἀπὸ κιν-
δύνων, λύτρωσιν ἀπὸ τιμωριῶν ἑαυ-
τοῖς μεγίστην χάριν σοι χαίροντες ἔ-
χοιεν. + γενέσθαι ἀποδόμενοι, ἢ πάντων

5. Ἔτι δὲ τὰς δεήσεις καὶ θυσίας τοῦ ἱλασμοῦ
ἰδίως προσφέρω σοι ὑπὲρ τῶν ἐμὲ ἔν τινι
βλαψάντων, λυπησάντων, λοιδορησάντων,
ἢ ἐμὲ ζημιωσάντων, ἢ βασανισάντων.
ἔτι ὑπὲρ πάντων, οὕς ποτε ἐλύπησα, διε-
τάραξα, ἐβάρυνα, καὶ τοῖς λόγοις, ἢ ἔργοις
εἰδὼς ἢ ἀγνοῶν ἐσκανδάλισα· ὅπως ἡμῖν
πᾶσιν ἅμα τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰς
ἀλλήλων προσκρούσεις συγγινώσκῃς.
κύριε, ἄφελε ἀπὸ τῶν καρδιῶν ἡμῶν πᾶσαν
ὑποψίαν, ἀγανάκτησιν, ὀργὴν καὶ ἔριδα,
καὶ ὅτιοῦν τὴν ἀγάπην βλάπτειν, καὶ τὴν φιλα-
δελφίαν μειοῦν δύναται. ἐλέησον, ἐλέη-
σον κύριε, τοὺς τὸ ἔλεός σου αἰτοῦντας, δὸς
χάριν τοῖς χρῄζουσι, καὶ ποίησον ἡμᾶς τοι-
ούτους ὑπάρχειν, ἵνα τῆς χάριτός σου ἄξιοι
γενόμενοι, πρὸς τὴν ζωὴν αἰώνιον
προκόψωμεν, ἀμήν. + κακῶν ἀπαλ-
λαγέντες μεγίστην ὤνησιν

## Κεφ: ι.

Ὅτι οὐ χρὴ τὴν ἱερὰν κοινωνίαν ῥᾳδίως καταλείπειν. Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

α. Ἐπάναγκες συχνῶς σε ἀναδραμεῖν ἐπὶ τὴν πηγὴν τῆς χάριτος, καὶ τοῦ θείου ἐλέους, ἐπὶ τὴν πηγὴν τῆς χρηστότητος καὶ πάσης εὐσπλαγχνίας· ἵν᾽ ἀπὸ τῶν παθῶν καὶ κακιῶν σου θεραπευθῆναι διός τε γένῃ, καὶ κατὰ πάντων πειρασμῶν καὶ ἀπατῶν τοῦ διαβόλου ἰσχυρότερος καὶ ἐγρηγορικώτερος ἀποβῆναι ἀξιωθῇς. ὁ ἐχθρὸς εὖ εἰδὼς τὸν καρπὸν καὶ μέγιστον φάρμακον ἐν τῇ ἱερᾷ κοινωνίᾳ κείμενον, παντὶ τρόπῳ καὶ ἀφορμῇ τοὺς πιστοὺς καὶ εὐλαβεῖς, κατὰ δύναμιν αὐτοῦ, ἀποτρέπειν καὶ ἐμποδίζειν πειρᾶται.

β. Πρὸς τὴν γὰρ ἱερὰν κοινωνίαν τινὲς ἑαυτοὺς παρασκευάσαι ἐπιχειροῦντες, χείρους εἰσβολὰς τοῦ σατανᾶ ὑπομένουσιν, αὐτὸ τὸ πνεῦμα τὸ πονηρὸν (καθὼς ἐν τῷ Ἰὼβ γράφεται) τοῖς υἱοῖς τοῦ θεοῦ προσέρχεται, τοῦ αὐτοὺς τῇ εἰθισμένῃ πονηρίᾳ διαταράξαι, ἢ ἄγαν φοβεροὺς καὶ ἀμηχάνους κατεργάσασθαι, ὅπως τὴν αὐτῶν ὁρμὴν μειώσῃ, ἢ πολεμῶν αὐτοῖς, τὴν πίστιν ἀφέληται. εἰ δ᾽ ἄρα πάντως

 

τὴν κοινωνίαν διαλείπουσιν, ἢ χλιαρῶς προσέρχονται. πλὴν οὐδὲν μέλλειν ἡμῖν τῶν κακοσχημάτων καὶ φαντασιῶν αὐτοῦ, καίπερ αἰσχρῶν καὶ φοβερῶν γινομένων, ἀλλὰ πάντα φαντάσματα εἰς τὴν κεφαλὴν αὐτοῦ ἀντιστρέφειν. χρὴ τοῦ ἀθλίου καταφρονεῖν καὶ καταγελᾶν, καὶ οὐ διὰ τὰς εἰσβολὰς καὶ κινήσεις αὐτοῦ, ἃς ἐγείρει, τὴν ἱερὰν κοινωνίαν παραλείπειν.

---

γʹ. Προσέτι πολλάκις ἡ ἄγαν μέριμνα τοῦ ἔχειν εὐλάβειαν, καὶ ἡ ἀδημονία τοῦ ἐξομολογεῖσθαι ἐμποδὼν γίνεται. ποίησον κατὰ συμβουλὴν τῶν σοφῶν, καὶ ἀπόθες τὴν ἀδημονίαν καὶ ἀπορίαν, ὅτι τὴν χάριν τοῦ θεοῦ ἐμποδίζει, καὶ τὴν τοῦ νοὸς εὐλάβειαν διαφθείρει. διὰ μικράν τινα θλῖψιν ἢ βαρύτητα μὴ διάλειπε τὴν ἱερὰν κοινωνίαν· ἀλλ' ὕπαγε τάχιον ἐξομολογήσασθαι, καὶ τοῖς ἄλλοις πάντα τὰ παραπτώματα ἀσμένως σύγγνωθι. ἐὰν δέ τινι προσκρούσῃς, συγγνώμην ταπεινῶς αἴτησον, καὶ ὁ θεὸς ἑκουσίως συγχωρήσει σοι.

---

δʹ. Τί συμφέρει διὰ πολλοῦ τὴν ἐξομολόγησιν, ἢ τὴν ἱερὰν κοινωνίαν ἀναβάλλεσθαι; καθάρισόν σε πρῶτον, ἔκπτυε

ταχέως τὸ τοξικὸν, σπεῦδε λαμβάνειν
τὸ ἀντίδοτον, καὶ κάλλιον ἕξεις, ἢ ἐὰν ἐ-
πὶ πολὺν χρόνον ἀναβάλλῃ. εἰ σήμερον
διὰ τοῦτο τὴν κοινωνίαν παραλείπεις,
αὔριον ἴσως ἄλλο μεῖζον συμβήσεται,
καὶ τοῦτον τρόπον ἐπιπολὺ ἂν τῆς κοινω-
νίας κωλύεσθαι, καὶ ἀναρμοσιώτερος γίνε-
σθαι ἠδύνασο. ὡς ὅσω τάχιον ἰσχύεις τῆς πα-
ρούσης βαρύτητος καὶ ῥᾳθυμίας ἀπαλλά-
γηθι. ὅτι οὐ λυσιτελεῖ διὰ πολλοῦ ἀδη-
μονεῖν, διὰ πολλοῦ τῇ ταραχῇ ἐμμέ-
νειν, καὶ διὰ τὰ καθημερινὰ κωλύματα
ἀπὸ τοῦ θεοῦ χωρίζεσθαι. μᾶλλον δὲ
βλαβερώτατόν ἐστι, τὴν κοινωνίαν
ἐπιπολὺ ἀναβάλλειν, ὅτι καὶ τὴν βαρεῖ-
αν νάρκην ἐμποιεῖν εἴωθε. δεῦ, χλι-
αροί τινες καὶ ἀνειμένοι τὰς ἐποχὰς
τοῦ ἐξομολογεῖν ἀσμένως ἀποδέχον-
ται, καὶ διὰ τοῦτο τὴν κοινωνίαν ἀνα-
βάλλεσθαι ἐπιποθοῦσι, τοῦ μὴ δεῖν μᾶλ-
λον ἑαυτοὺς φυλάττειν.

ε. Οἴμοι, ὡς ὀλίγην ἀγάπην καὶ ἀσθενῆ
εὐλάβειαν ἔχουσιν οἱ οὕτω ῥᾳδίως τὴν
ἱερὰν κοινωνίαν διαλείπονται, ὡς εὐ-
δαίμων ἐκεῖνος καὶ τῷ θεῷ εὐάρεστος

ἐστιν, ὁ οὕτω ζῶν, καὶ τοιαύτῃ καθα-
ρότητι τὴν συνείδησιν αὐτοῦ φυλάττων,
ὥστε καὶ καθ' ἑκάστην εἶναι ἕτοιμον καὶ
ἐνδιάθετον κοινωνεῖν, εἰ δὲ τοῦτο
ἀδύνατον ἐστίν, καὶ ἀμέμπτως ποιῆσαι
ἠδύνατο. εἰ μέν τις τῆς ταπεινότη-
τος ἕνεκα, ἢ νομίμου αἰτίας ἐμπο-
διζόμενος, τῆς κοινωνίας ποτὲ ἀπέχεται,
τὴν εὐλάβειαν αὐτοῦ ἐπαινετέον.
εἰ δέ τις ναρκὶ ὑπέρχεται, ἑαυτὸν
ἐξαίρων, καὶ τὸ καθ' ἑαυτόν, ποιεῖν
ὀφείλει, καὶ ὁ κύριος παρέξει τῇ ἐπι-
ποθήσει αὐτοῦ ἀντὶ τῆς ἀγαθῆς βουλή-
σεως, εἰς ἣν τελείως ἀποβλέπει.

κγ. δ

5. Ὅταν δὲ νομίμως ἐμποδιζόμενος
ᾖ, ἀεὶ ἔχῃ τὴν ἀγαθὴν βούλησιν ἢ εὐσεβῆ
προαίρεσιν τοῦ κοινωνεῖν, καὶ τοῦτον τρόπον
τῆς τοῦ μυστηρίου ὠφελείας οὐκ ἀποστερεῖται.
δύναται γὰρ πᾶς εὐλαβὴς πάσῃ ἡμέρᾳ
καὶ πάσῃ ὥρᾳ τῇ τοῦ Χριστοῦ κοινωνίᾳ πνευ-
ματικῶς σωτηρίως καὶ ἀκωλύτως πλησιάζειν.
ἀλλ' ὅμως τακταῖς ἡμέραις, καὶ ὡρισμένῳ
χρόνῳ τὸ τοῦ λυτρωτοῦ αὐτοῦ σῶμα, μετὰ
τῆς μαθητικῆς εὐλαβείας μυστηριακῶς
ὀφείλει λαμβάνειν, καὶ τὸ τοῦ θεοῦ τιμῆς
καὶ δόξης μᾶλλον φροντίζειν, ἢ τὴν ἰδίαν

βιβ: δ. κεφ: ι. στιχ: ε. α χπγ. κγ. Εκ: δ.

παράκλησιν ζητεῖν. τοσάκις γὰρ μυστηριακῶς κοινωνεῖ, καὶ ἀοράτως ἀνατρέφεται, ὁσάκις τὸ τῆς σαρκώσεως, καὶ τοῦ πάθους τοῦ Χριστοῦ μυστήριον εὐλαβῶς μνημονεύει, καὶ τῇ ἀγάπῃ αὐτοῦ ἀνάπτεται.

---

ζ. Ὁ οὐκ ἄλλως ἑαυτὸν παρασκευάζων, εἰ μὴ ἑορτῆς ἐπικειμένης, ἢ τοῦ ἔθους ἀναγκάζοντος, πλεονάκις ἀπαρασκεύαστος ἔσται. μακάριος, ὃς ἑαυτὸν εἰς ὁλόκαυστον τῷ κυρίῳ προσφέρει, ὁσάκις ἂν λειτουργῇ ἢ κοινωνῇ. μὴ γίνου ἐν τῷ λειτουργεῖν ἄγαν μακρὸς ἢ ἐπισπερχὴς, ἀλλὰ τήρει τὸν καλὸν καὶ κοινὸν τρόπον τῶν σοι συζώντων. οὐ χρή σε τοῖς ἄλλοις ἐμποιεῖν βαρύτητα καὶ ἀηδίαν, ἀλλὰ τὴν κοινὴν ὁδὸν, κατὰ τὴν τῶν προγόνων διάταξιν, φυλάττειν. καὶ μᾶλλον τῇ τῶν ἄλλων δουλεύειν ὠφελείᾳ, ἢ τῇ ἰδίᾳ εὐλαβείᾳ ἢ πάθει.

---

Κεφ: ια.

Ὅτι τὸ σῶμα τοῦ Χριστοῦ καὶ ἱερὰ γραφὴ τῇ πιστῇ ψυχῇ ἀναγκαιέστατά ἐστιν.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

α. Ὦ ἥδιστε κύριε Ἰησοῦ πόση ἐστὶν ἡ ἡ-
δύτης τῆς εὐλαβοῦς ψυχῆς, τῆς συνεστιω-
μένης σοι ἐν τῇ εὐχαριστίᾳ σου, ὅπου αὐτῇ οὐκ
ἄλλη βρῶσις προτίθεται φαγεῖν, πλὴν
σὺ μόνος ἀγαπητὸς αὐτῆς, ὑπὲρ πάν-
τα ποθήματα τῆς καρδίας αὐτῆς ἐπιπό-
θητος. καὶ μὴν ἐμοὶ ἂν ἡδὺ ἐγίνετο ἐν τῇ
παρουσίᾳ σου, ἐκ τῆς ἐνδοτάτης ὀδύνης
δάκρυα ἐκχέειν, καὶ μετὰ τῆς εὐσεβοῦς Μα-
ρίας Μαγδαληνῆς τοῖς δάκρυσι τοὺς πό-
δας σου βρέχειν. ἀλλὰ ποῦ ἐστιν αὕτη εὐ-
λάβεια; ποῦ τῶν ἁγίων δακρύων εὔπορος
ἔκχυσις; ἀληθῶς ἐνώπιόν σου καὶ τῶν ἁγίων
ἀγγέλων σου, τὴν καρδίαν μου καίεσθαι,
καὶ ὑπὸ χαρᾶς κλαίειν ἂν ἔδει. ἔχω γάρ
σε ἐν τῷ μυστηρίῳ ἀληθῶς παρόντα,
καίπερ ἀλλοτρίῳ εἴδει ἀποκεκρυμ-
μένον.

---

β. Ἐν τῇ γὰρ ἰδίᾳ καὶ θείᾳ λαμπρότητι
εἰσορᾶν σε οἱ ὀφθαλμοί μου οὐκ ἂν ἀνέχειν
ἠδύναντο. ἀλλ᾽ οὐδὲ ὅλος ὁ κόσμος ἐν τῷ
αὐγασμῷ τῆς μεγαλειότητός σου ὑφίστατο.
ἐν τούτῳ οὖν τῆς ἀσθενείας μου πρόνοιαν ποι-
ῇ, ὅτι σε ὑπὸ τῷ μυστηρίῳ ἀποκρύπτεις.
ἔχω ὄντως καὶ προσκυνῶ, ὃν οἱ ἄγγελοι
προσκυνοῦσιν ἐν τῷ οὐρανῷ. πλὴν ἐγὼ

βιβ: δ. κεφ: ια. στιχ: β. α χπγ. κγ Εκ: δ

ἔτι μεταξὺ ἐν τῇ πίστει, ἐκεῖνοι δ' ἐν
τῷ εἴδει καὶ ἄνευ τοῦ καταπετάσματος.
ἐμὲ δὲ ἀναπαύειν τῷ φωτὶ τῆς ἀληθοῦς
πίστεως, καὶ ἐν αὐτῇ περιπατεῖν ἕως οὗ
διαπνεύσῃ ἡ ἡμέρα τῆς αἰωνίου λαμπρό-
τητος, καὶ αἱ σκιαὶ τῶν τύπων κλιθῶσιν.
ὅταν δ' ἔλθῃ τὸ τέλειον, ἡ χρῆσις τῶν
μυστηρίων λήξει· ὅτι οἱ μακάριοι ἐν
τῇ οὐρανίῳ δόξῃ οὐ χρείαν ἔχουσι φαρμα-
κοῦ μυστηριακοῦ· χαίρουσι γὰρ ἄνευ τέ-
λους τῇ τοῦ θεοῦ παρουσίᾳ, πρόσωπον πρὸς
πρόσωπον τὴν αὐτοῦ δόξαν κατοπτριζόμε-
νοι, καὶ ἀπὸ δόξης εἰς δόξαν τῆς ἀβύσσου τῆς
θεότητος μεταμεμορφωμένοι γεύονται
τὸν λόγον τοῦ θεοῦ σαρκωθέντα, καθὼς
ἀπ' ἀρχῆς ἐγένετο, καὶ μένει εἰς τὸν αἰῶνα.

---

γ. Τούτων θαυμάτων μεμνημένῳ καὶ
πᾶσα πνευματικὴ παραμυθία, βαρεῖ-
α ἀηδία γίνεται, ὅτι μέχρι οὗ τὸν κύ-
ριόν μου φανερῶς ἐν τῇ δόξῃ αὐτοῦ ὑβλέ-
πω, περὶ μηδενὸς ποιοῦμαι πᾶν ὅ τι
ἐν τῷ κόσμῳ ὁρῶ, ἢ ἀκούω. μάρτυρε,
σὺ ὁ θεός, ὅτι μηδὲν ἐμὲ παρακαλεῖν,
μηδεμία κτίσις κατηρεμίζειν δύνα-
ται, εἰ μὴ σὺ ὁ θεός μου, ὃν αἰωνίως

θεωρεῖν ἐπιποθῶ. ἀλλὰ τοῦτο ἀδύν-
ατόν ἐστι, διαμένοντός μου ἐν ταύτῃ
θνητότητι, διόπερ ἐμὲ δεῖ μεγάλῃ
καρτερίᾳ ἐπιτίθεσθαι, καὶ ἐμαυτὸν ἐν
πάσῃ ἐπιθυμίᾳ σοι ὑποτάσσεσθαι. καὶ
γὰρ οἱ ἅγιοί σου, κύριε, οἱ νῦν μετὰ
σου ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ ἀγαλλι-
ώμενοι, ἐν τῇ πίστει καὶ μεγάλῃ ὑπο-
μονῇ, ἐφ' ὅσον ἔζων, τὴν ἐπιφάνειαν
τῆς δόξης σου προσεδόκων. ὅ,τι αὐτοὶ
ἐπίστευσαν, κἀγὼ πιστεύω. ὅ,τι αὐτοὶ
ἤλπησαν, κἀγὼ ἐλπίζω. ὅποι αὐτοὶ ἀ-
φίκοντο, κἀμὲ διὰ τῆς χάριτός σου ἐ-
λεύσεσθαι ἐλπίδα ἔχω. περιπατήσω
μεταξὺ ἐν πίστει τοῖς τῶν ἁγίων πα-
ραδείγμασιν ἐνδυναμωθείς. προσ-
έτι ἔχω τὰς ἁγίας βίβλους ἀντὶ παρα-
κλήσεως, καὶ ἐσόπτρου τοῦ βίου, ὑπὲρ
πάντα δὲ ταῦτα τὸ ἁγιώτατον σῶ-
μά σου, ἀντὶ ἰδίου φαρμάκου καὶ κατα-
φυγῆς.

---

δ. Δυοῖν γὰρ ἐν τῇ ζωῇ ταύτῃ ὡς μάλι-
στα χρῄζων αἰσθάνομαι, χωρὶς ὧν, ἡ ἀθλι-
ωτάτη ζωὴ ἐμοὶ ἂν ἀφόρητος ἦν. ἐν τῷ
δεσμωτηρίῳ τοῦ σώματος τούτου κατα-
κλεισθείς, δυοῖν χρείαν ἔχειν με ἐξομο-
λογῶ, τῆς βρώσεως δήπου, καὶ τοῦ φωτός.
διὸ ἀσθενοῦντί μοι τὸ ἱερὸν σῶμά σου

βιβ: δ. κεφ: ιά. ςιχ. μά δ. α. χ. π. ν. χρ. ε. κ. δ.

εἰς τροφὴν τοῦ νοὸς καὶ τοῦ σώματος ἔδωκας· καὶ τὸν λύχνον τοῖς ποσί μου ἤδη τὸν λόγον σου. ἄνευ τούτων δυοῖν, οὐ μὲν οὐχ οἷός τ' ἐγινόμην. ὁ γὰρ λόγος τοῦ θεοῦ, τὸ φῶς τῆς ψυχῆς ἐστι, καὶ τὸ μυστήριόν σου ὁ τῆς ζωῆς ἄρτος. ταῦτα δή, ἃ δύο τράπεζαι λέγεσθαι δύνανται, αἳ ἔνθεν καὶ ἔνθεν ἐν τῷ τῆς ἁγίας ἐκκλησίας γαζοφυλακίῳ κείμεναι. ἡ μὲν ἐστι τοῦ ἁγίου θυσιαστηρίου, τὸν ἄρτον τὸν ἅγιον, τοῦτ' ἔστι, τὸ τοῦ Χριστοῦ σῶμα τὸ τίμιον ἔχουσα, ἡ δὲ τοῦ νόμου τοῦ θεοῦ, τὴν ἁγίαν διδαχὴν περιέχουσα, τήν τε ὀρθὴν πίστιν παιδεύουσα, καὶ βεβαίως εἰς τὸ ἐσώτερον καταπετάσματος, ὅπου ἐστὶ τὰ ἅγια τῶν ἁγίων, διάγων.

εὐχαριστῶ σοι, κύριε Ἰησοῦ, φῶς τοῦ αἰωνίου φωτός, ὑπὲρ τῆς τραπέζης τῆς ἱερᾶς διδαχῆς, ἣν ἡμῖν διὰ τῶν δούλων σου τῶν [illegible] προφητῶν καὶ ἀποστόλων, καὶ τῶν ἄλλων διδασκάλων ἐπόρισας.

---

έ. Εὐχαριστῶ σοι, κτίστα καὶ λυτρωτὰ τῶν ἀνθρώπων, σύ, τοῦ δηλῶσαι τὴν ἀγάπην σου ὅλῳ τῷ κόσμῳ, δεῖπνον μέγα ἡτοίμασας, ἐν ᾧ οὐ τυπικὸν ἀμνόν, ἀλλὰ τὸ ἁγιώτατον σῶμα καὶ αἷμά σου

προσέλθῃς τοῦ φαγεῖν, εὐφραίνων πάντας τοὺς πιστοὺς τῇ ἱερᾷ εὐωχίᾳ, καὶ τῷ σωτηριώδει ποτηρίῳ μεθύσκων, ἐν ᾗ πᾶσαι τρυφαὶ τοῦ παραδείσου, καὶ οἱ ἅγιοι ἄγγελοι συνευωχοῦνται ἡμῖν, ἀλλ' ἡδύτητι εὐδαιμονεστέρᾳ.

---

ϛ. Ὡς μεγάλη καὶ ἔντιμος ὑπηρεσία τῶν ἱερέων, οἷς ἐδόθη τὸν τῆς μεγαλειότητος κύριον τοῖς ἁγίοις ῥήμασι καθιερᾶν, τοῖς χείλεσιν εὐλογεῖν, ταῖς χερσὶ κρατεῖν, τῷ ἰδίῳ στόματι λαμβάνειν, καὶ τοῖς ἄλλοις διδόναι. ὡς καθαρὰς δεῖ ὑπάρχειν ἐκείνας τὰς χεῖρας, ὡς ἁγνὸν στόμα, ὡς ἅγιον σῶμα, ὡς ἄσπιλος καρδία τοῦ ἱερέως ἔσται, πρὸς ὃν τοσάκις ὁ τῆς καθαρότητος αἴτιος εἰσέρχεται. ἐκ τοῦ στόματος τοῦ ἱερέως μηδὲν ἢ καλὸν καὶ χρήσιμον ῥῆμα δεῖ ἐξέρχεσθαι, ὃς τοσάκις τὸ Χριστοῦ μυστήριον λαμβάνει.

---

ζ. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἁπλοῖ καὶ αἰδοῖοι, οἳ τὸ σῶμα τοῦ Χριστοῦ εἰσορᾶν εἰώθασιν. αἱ χεῖρες καθαραὶ, καὶ εἰς οὐρανὸν ἐπαρθεῖσαι, αἳ τὸν κτιστὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς ψηλαφεῖν εἰώθασι. τοῖς ἱερεῦσιν ἰδίως ἐν τῷ νόμῳ λέγεται. ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.

---

βιβ: δ. κεφ: ιά. στιχ: ζ. ἄχρι κεφ: ἐκ: δ.

ή. Βοηθήσαι ἡμῖν ἡ χάρις σου, παντοδύ-
ναμε Θεός, ἵν' οἱ τὴν ἱερατικὴν ὑπηρε-
σίαν ἀναδεξάμενοι, ἀξίως καὶ εὐλα-
βῶς ἐν πάσῃ καθαρότητι καὶ καλῇ συνει-
δήσει σοι δουλεύσαι δυνηθῶμεν. καὶ
ἐὰν ἐν τοιαύτῃ ἀκακίᾳ τοῦ βίου κατὰ
τὸ προσῆκον, διάγειν οὐ δυνώμεθα,
παράσχου μέν τοι ἡμῖν τὰ κακὰ ἅπερ
ἐπράξαμεν, ἀξίως ἀνακλαίειν. καὶ
ἐν τῷ πνεύματι τῆς ταπεινότητος,
καὶ τῇ τοῦ ἀγαθοῦ θελήματος προαιρέσει
ζεσότερόν σοι τὸ λοιπὸν δουλεύειν.

---

## Κεφ: ιβ.

Ὅτι μεγάλῃ ἐπιμελείᾳ δεῖ τὸν κοιν-
ωνήσοντα τοῦ Χριστοῦ, ἑαυτὸν
παρασκευάζειν. Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

ά. Ἐγώ εἰμι τῆς καθαρότητος φιλητής
καὶ δωτὴρ πάσης ἁγιωσύνης. ἐγὼ καρ-
δίαν καθαρὰν ζητῶ, καὶ ἐκεῖ ὁ τόπος τῆς
ἀναπαύσεώς μου ἐστίν. ἑτοίμασόν μοι
ἀνώγεον μέγα, ἐστρωμένον, καὶ παρὰ
σοὶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου
ποιήσω. εἰ θέλεις, ἵνα προσελθὼν παρα-
μένω σοι· ἐκκάθαρον τὴν παλαιὰν
ζύμην, καὶ τὸ οἴκημα τῆς καρδίας σου
β. κόσμησον. ἔκκλεισον ὅλον τὸν κόσμον

καὶ πάντα τῶν κακιῶν θόρυβον. κά-
θισον ὡς στρουθίον μονάζων ἐπὶ δώ-
ματος, καὶ ἐννόει τὰς παραβάσεις
σου ἐν πικρίᾳ τῆς ψυχῆς σου. πᾶς γὰρ
ὁ ἀγαπῶν τῷ ἀγαπητῷ διατῇ αὐ-
τοῦ, βέλτιστον καὶ κάλλιστον τόπον
ἑτοιμάζει, ὅτι ἐκ τούτου ἡ διάθεσις
τοῦ ἀποδεχομένου τὸν ἀγαπητὸν δηλοῦ-
ται.

---

β. Ἀλλὰ μὴν γίνωσκε, ὅτι οὐ δύνῃ τὴν
παρασκευὴν ταύτην πορίζειν κατ᾽ ἀξί-
ας τῆς πράξεώς σου, καίπερ δι᾽ ὅλου ἔτ-
ους σε ἑτοιμάζων, καὶ μηδὲν ἄλλο δια-
νοῶν, ἐκ μόνης δ᾽ εὐσπλαγχνίας καὶ
χάριτός μου ἐᾷ τῇ τραπέζῃ μου πλη-
σιάζειν ὥσπερανεὶ ὁ πτωχὸς εἰς τὸ
ἄριστον τοῦ πλουσίου κληθεὶς, οὐδὲν ἄλ-
λο εἶχεν ταῖς αὐτοῦ εὐεργεσίαις ἀπο-
δοῦναι, ἢ τὸ ταπεινωθῆναι, καὶ εὐχαρι-
στῆσαι. ποίησον τὸ ἐπὶ σοι, καὶ σπουδαίως
ποίησον. οὐκ ἐξ ἔθους, οὐδ᾽ ἐξ ἀνάγκης,
ἀλλὰ σὺν φόβῳ καὶ αἰδοῖ καὶ προθυ-
μίᾳ λάβε τὸ σῶμα τοῦ ἀγαπητοῦ
κυρίου τοῦ θεοῦ σου, τοῦ πρός σε ἐλθεῖν
ἀξιοῦντος. ἐγώ εἰμι ὁ καλέσας, ἐγὼ
γενέσθαι ἐκέλευσα, ἐγὼ ἀναπληρώ-
σω τὸ ἐλλειπές σου. ἐλθὲ καὶ ἀνα-
δέξαι με.

βιβ: δ. κεφ: ιβ. συνημμ. γ. α. χπυ. κεφ: ε.

γ. Ὅτε τὴν τῆς εὐλαβείας χάριν παρέ-
χω, εὐχαρίστει τῷ θεῷ σου. οὐχ ὅτι ἄξι-
ος τυγχάνεις, ἀλλ' ὅτι σε ἠλέησα. εἰ
δὲ ταύτης τῆς χάριτος ἀπορεῖς, ἀλλὰ
μᾶλλον ξηρὸς ὢν αἰσθάνει, τῇ δεήσει
προσκαρτέρει, στέναζε, κροῦε, καὶ οὐ λῆγε,
ἕως ἂν ψιχίον ἢ ῥανίδα τῆς σωτηρι-
ώδους χάριτος λαβεῖν ἀξιωθῇς. σὺ
χρήζεις μου, ἀλλ' οὐκ ἐγώ σου. οὐδὲ σὺ
ἔρχῃ τοῦ ἁγιάζειν με, ἀλλ' ἐγὼ τοῦ ἁγι-
άζειν καὶ βελτιοῦν σε ἔρχομαι. σὺ ἔρχῃ
τοῦ ~~ἁγιάζειν με~~ ἐξ ἐμοῦ ἁγιασθῆναι,
καὶ ἐμοὶ ἑνωθῆναι, τοῦ καινὴν χάριν
λαβεῖν, καὶ ἐξ ὑπαρχῆς εἰς τὴν ἐπανόρ-
θωσιν παροξυνθῆναι. μὴ ἀμέλει
τοῦ χαρίσματος τούτου. ἀλλὰ πάσῃ
ἐπιμελείᾳ τὴν καρδίαν σου ἑτοίμα-
σον, καὶ τὸν ἀγαπητόν σου πρὸς σε εἰσά-
γαγε.

---

δ. Δεῖ δέ σε +εἰς τὴν εὐλάβειαν ἑτοιμασθῆναι,
μὴ μόνον πρὸ τῆς κοινωνίας, ἀλλὰ καὶ με-
τὰ τὸ λαβεῖν τὸ μυστήριον, αὐτὴν σπουδαί-
ως φυλάττειν. οὐ γὰρ ἧττον φυλακὴ ὕστε-
ρον, ἢ εὐλαβείας παρασκευὴ πρότερον.

ἀναγκαία ἐστίν. ἡ γὰρ ἀγαθὴ φυλακὴ
ὕστερον εἰς τὸ μείζονος χάριτος τυχεῖν,
πάλιν βελτίστη παρασκευὴ γίνεται.
ἐκ τούτου γάρ τις σφόδρα ἀδιάθετος
ἀποβαίνει, εἰ εὐθέως εἰς τὰς ἔξω πα-
ρακλήσεις ἄγαν ἐκχεῖται. φεῦγε πολυ-
λογίαν, καὶ ἐμμένων τῇ ἀποκρυφῇ, τοῦ
θεοῦ σου ἀπόλαυε. αὐτὸν γὰρ ἔχεις, ὃν
ὅλος ὁ κόσμος ἀφαιρεῖν σου οὐ δύναται.
ἐγώ εἰμι ᾧ σε ὅλον οὕτω διδόναι
ὀφείλεις, ὅπως νῦν οὐκ ἔτι ἐν σοί, ἀλλ'
ἐν ἐμοὶ πάνυ ἀμερίμνως ζήσῃς.

---

Κεφ: ιγ.

Ὅτι δεῖ τὴν εὐλαβῆ ψυχὴν ὅλῃ τῇ καρ-
δίᾳ τῆς τοῦ χριστοῦ ἑνώσεως τῆς ἐν τῷ
μυστηρίῳ ἀντιποιεῖσθαι.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

ά. Τίς μοι δώῃ κύριε, ἵν' εὕρω σε μό-
νον, καὶ ἀνοίξας σοι τὴν καρδίαν μου ἀπο-
λαύσω σου, καθὼς ἐπιθυμεῖ ἡ ψυχή μου.
καί με ἤδη οὐδεὶς ἐξουδενώσῃ οὐδέ τις
κτίσις κινήσῃ ἢ ἐπιβλέψῃ με, ἀλλὰ σὺ
μόνος μοι λαλήσῃς, κἀγώ σοι, ὥσπερ
εἴωθεν ἀγαπητὸς πρὸς τὸν ἀγαπητὸν
αὐτοῦ λαλεῖν, καὶ ὁ φίλος τῷ φίλῳ συν-
εστιᾶσθαι; τοῦτο δέομαι, τοῦτο ποθῶ, τὸ
εἰήπτου σοι ἐμὲ ὅλον ἑνωθῆ, καὶ τὴν καρ-
δίαν μου ἀπάντων κτισθέντων χω-

βιβ: δ. κεφ: ιγ. στιχ. α. α χ π γ. κεφ ε.

είξεως, διά τε τῆς ἱερᾶς κοινωνίας, καὶ
τῆς συχνῆς λειτουργίας, τὰ οὐράνια καὶ
αἰώνια φρονῆσαι μαθεῖν. αἲ αἲ κύριε!
πότε σοι ὅλος ἑνωθήσομαι, καταπο-
θήσομαι, καὶ πάντως ἀμνημονήσω
ἐμοῦ; σὺ ἐν ἐμοί, κἀγὼ ἐν σοί· καὶ οὕτως
ἡμᾶς ἅμα συμμένειν ἔα.

---

β. Ἀληθῶς σὺ εἶ ἀγαπητός μου ἐκλελε-
γμένος ἀπὸ χιλιάδων, ἐν ᾧ εὐδόκη-
σεν ἡ ψυχή μου οἰκῆσαι πάσας
τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς. ἀληθῶς
σὺ ὁ εἰρηνοποιός μου, ἐν ᾧ εἰρήνη με-
γίστη, καὶ ἀνάπαυσις ἀληθινὴ, ἔξω οὗ
κόπος καὶ ὀδύνη καὶ ἄπειρος ἀθλιότης.
ἀληθῶς σὺ εἶ ὁ θεὸς ἀποκεκρυμμέ-
νος, καὶ ἡ συμβουλή σου οὐκ ἔστι μετὰ
τῶν ἀδίκων, ἀλλὰ μετὰ τῶν τα-
πεινῶν καὶ ἁπλῶν ὁ λόγος σου. ὢ ὡς
χρηστόν ἐστι τὸ πνεῦμά σου κύριε,
ὃ τοῦ γνωσθῆναι, τὴν γλυκύτητά σου
εἰς τοὺς υἱοὺς τὸν ἄρτον ἥδιστον οὐρα-
νόθεν πορίσας, αὐτοὺς ἀνατρέφειν
ἀξιοῖς. ἀληθῶς οὐκ ἔστιν ἄλλο ἔθνος οὕτω
μέγα, ᾧ οἱ θεοὶ ἐγγίζουσι, καθάπερ
σὺ ὁ θεὸς ἡμῶν παραγίνῃ πᾶσι τοῖς
πιστοῖς σου, οἷσπερ εἰς τὴν καθη-

μυστικὴν παράκλησιν, καὶ εἰς τὸ ἐπου-
ράνιον τὴν καρδίαν ὑψώσας, χαρίζῃ σε
τοῦ μανᾶν καὶ ἀπολαῦσαι.

---

γ'. Τί γὰρ ἄλλο ἔθνος οὕτως εὐκλεὲς
ὡς ὁ λαὸς τῶν χριστιανῶν; ἢ τίς κτί-
σις ὑπὸ τῷ οὐρανῷ οὕτως ἠγαπημένη
ὡς ἡ εὐλαβὴς ψυχή, πρὸς ἣν ὁ θεὸς
εἰσέρχεται, τοῦ σιτῆσαι αὐτὴν τῇ ἐν-
δόξῳ σαρκὶ αὐτοῦ; ὢ τῆς ἀποῤῥήτου
χάριτος, ὢ τῆς θαυμαστῆς ἀξιώσεως·
ὢ τῆς ἀμετρήτου ἀγάπης τῷ ἀνθρώ-
πῳ ἰδίως ἐνδειχθείσης. τί δὲ ἀντα-
ποδώσω τῷ κυρίῳ περὶ ταύτης τῆς
χάριτος, περὶ τῆς ἀγάπης οὕτως ὑπερ-
εχούσης; οὐκ ἂν ἄλλο εὐαρεστότερον
δωρήσαιμι, ἢ τὴν καρδίαν μου τῷ
θεῷ παντελῶς διδοὺς, καὶ ἐνδότατα συν-
άπτων. τότε ἀγαλλιάσονται πάντα τὰ
ἐντός μου, ἐπειδὰν ἡ ψυχή μου τελεί-
ως τῷ θεῷ ἑνωθῇ. τότε λέξει μοι
εἰ θέλεις μοι συνεῖναι κἀγὼ σοι σύν-
εῖναι βούλομαι. κἀγὼ ἀποκριθήσο-
μαι αὐτῷ· ἀξίωσον κύριε παραμέ-
νειν μοι, κἀγὼ σοι ἀσμένως παρα-
μένειν ἐθέλω, τοῦτο ὅλον τὸ πόθη-
μά μου ἵν' ἡ καρδία μου ἑνωθῇ σοι.

## Κεφ. ιδ.

**Περὶ τῆς ἐνίων εὐλαβῶν διαπύρου ἐπιπο-
θήσεως τοῦ σώματος τοῦ Χριστοῦ.**

Η φωνὴ τοῦ μαθητοῦ.

α. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός
σου, κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις
σε. ἐγὼ μὲν ἀναμνησθεὶς εὐλαβῶν τι-
νων τῶν τῷ μυστηρίῳ σου, κύριε, με-
γίστῃ εὐλαβείᾳ καὶ ὁρμῇ πλησιαζόντων,
πρὸς ἐμαυτὸν πλεονάκις καταισχύνομαι,
καὶ ἐρυθριῶ, ὅτι πρὸς τὸ θυσιαστήριόν σου, καὶ
τὴν τῆς ἱερᾶς κοινωνίας τράπεζαν, οὕτω
χλιαρῶς καὶ ψυχρῶς προσέρχομαι, ὅτι
οὕτω ξηρὸς καὶ ἀπαθὴς τὴν καρδίαν διατε-
λῶ. ὅτι οὐ πάντως ἀνήφθην ἐνώπιόν σου
τοῦ θεοῦ μου, οὐδὲ οὕτω σφόδρα προσελ-
κύομαι, καὶ δάκνομαι, ὡς πολλοὶ εὐλα-
βεῖς διέκειντο. οἵτινες ὑπὸ τοῦ ἄγαν ἐπι-
θυμεῖν τῆς κοινωνίας καὶ τῆς αἰσθητικῆς τῆς
καρδίας ἀγάπης τὰ δάκρυα κατέχειν οὐκ
ἠδυνήθησαν, ἀλλ᾽ ἅμα τῷ στόματι τῆς καρ-
δίας καὶ τοῦ σώματος πρὸς σὲ τὸν θεόν, τὴν πη-
γὴν ζῶσαν ἐκ μυελῶν κεχήνασι, τὴν πεῖ-
ναν αὐτῶν ἄλλως ἀναπληροῦν καὶ κορεῖν
οὐκ οἷοί τε ὄντες, εἰ μὴ τὸ σῶμά σου μετ

πάσης ἡδύτητος, καὶ πνευματικῆς ὀρέξεως ἐμπληδότες.

---

β. Ἡ ἀληθινὴ καὶ ἔμπυρος πίστις αὐτῶν, ἱκανὴ ἀπόδειξις τῆς ἱερᾶς σου παρουσίας ὑπάρχουσα. οὗτοι γὰρ ἀληθευτικῶς ἐν τῇ κλάσει τοῦ ἄρτου γινώσκουσι τὸν κύριον αὐτῶν, ὧν ἡ καρδία οὕτω σφόδρα καίεται ἐν αὐτοῖς διὰ τὸν Ἰησοῦν αὐτοῖς συμπεριπατοῦντα· τοιαύτη διάθεσις καὶ εὐλάβεια, οὕτω σφόδρα ἀγάπη καὶ ζῆλος, πολλάκις μακράν μου ἄπεισιν. ἱλάσθητί μοι Ἰησοῦ ἀγαθέ, ἡδὺ καὶ εὐμενὲς, καὶ συγχώρησον τῷ πένητι πτωχῷ σου ποτέ γε ἐκ τῆς καρδιακῆς διαθέσεως τῆς ἀγάπης σου ἐν τῇ ἱερᾷ κοινωνίᾳ αἰσθέσθαι, ὅπως ἡ πίστις μου μᾶλλον ἐνδυναμωθῇ, ἡ ἐλπὶς ἐν τῇ χρηστότητί σου προκόψῃ, καὶ ἡ ἀγάπη καθάπαξ τελείως ἀναφθεῖσα, καὶ τὸ ἐπουράνιον μάννα πεπειραμένη, μηδέποτε ἐλλείπῃ.

---

γ. Τὸ δ᾽ ἔλεός σου δυνατόν ἐστι καὶ τὴν ἐπιπόθητόν μοι χάριν παρέχεσθαι μοι, καὶ ἐν τῷ τῆς ζέσεως πνεύματι ἐπὶ τῷ εὐδοκῆσαί σε, ἡμέρας ἐλθούσης, ἐμὲ προσηνέστατα ἐπισκέψασθαι. εἰ γὰρ τοσούτῳ ποθήματι τῆς ἰδίως εὐλαβείας σου οὐ καίομαι,

ἀλλ' οὖν ἐκ τῆς χάριτός σου, ἐκείνου γε με-
γάλου καὶ … ἐμπανύς ποθήματος ἐπιθυ-
μίαν ἔχω, ἀξιῶν καὶ ἐφιέμενος πάντων
τούτων ζηστῶς ἀγαπώντων σε μετέχειν,
καὶ τῇ αὐτῶν ἁγίᾳ ἑταιρίᾳ συγκαταψη-
φίζεσθαι.

---

## Κεφ: ιζ.

Ὅτι ἡ τῆς εὐλαβείας χάρις, τῇ ταπειν-
ότητι καὶ ἑαυτοῦ ἀπαρνήσει προσπο-
ρίζεται. Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

α. Τὴν τῆς εὐλαβείας χάριν δεῖ σε κατε-
[illegible]ῶς ζητῆσαι, ἐπιθυμητικῶς ἀξιῶσαι,
ὑπομονητικῶς καὶ πεποιθότως προσδοκ-
ῆσαι, εὐχαρίστως ἀναδέξασθαι, ταπεινῶς
διαφυλάξαι, ἐπιμελῶς μετ' αὐτῆς ἐς-
καζ νάσασθαι, καὶ τῷ θεῷ τὸν ὅρον καὶ τὸν
τρόπον τῆς ἄνω ἐπισκέψεως, μέχρι τοῦ
αὐτὴν ἐλθεῖν, ἐπιτρέψαι. μάλιστα δὲ
σε ταπεινοῦσθαι, ὅτε ὀλίγην ἢ μηδεμίαν
εὐλάβειαν ἔσω αἰσθάνῃ, ἀλλ' οὐκ ἄγαν ἀθυ-
μεῖν οὐδ' ἀτάκτως λυπεῖσθαι. ὁ θεὸς πολ-
λάκις ἐν ἀκαρεῖ δίδωσιν, ὅπερ μακρῷ
χρόνῳ ἀνένευσεν, δωρεῖταί ποτε ἐν τῷ
τέλει ὃ ἐν ἀρχῇ τῆς δεήσεως ἐμέλλησε δι-
δόναι.

β. Εἰ ἀεὶ χάρις ταχέως δοθεῖσα κατὰ γνώμην παρεγίνετο, οὐκ ἂν τῷ ἀσθενεῖ ἀνθρώπῳ φορητὸν ἦν. διόπερ ἐν ἀγαθῇ ἐλπίδι, καὶ ταπεινῇ ὑπομονῇ τὴν τῆς εὐλαβείας χάριν προσδοκᾶν δεῖ. ἀλλ' ὅμως σοὶ καὶ τοῖς ἁμαρτήμασί σου ἀνατίθητι, ὅτε οὐ δίδοται, ἢ καὶ κρυφίως ἀφαιρεῖται. μικρόν ἐστί ποτε τὸ τὴν χάριν ἐμποδίζον καὶ ἀποκρύπτον, εἴπερ μικρὸν καὶ οὐ μᾶλλον μέγα ὀνομάζεσθαι δεῖ, τὸ τοσούτῳ ἀγαθῷ ἐμποδὼν γενόμενον. ἐὰν δὲ ταὐτὸν μικρὸν ἢ μέγα ἐκποδὼν ποιήσῃ, καὶ τελείως νικήσῃ, τοῦ ᾐτημένου τεύξῃ.

---

γ. Ἅμα γὰρ ἐξ ὅλης καρδίας σὺ τῷ θεῷ σε ἐπιδῷς, τοῦτο μὲν ἢ ἐκεῖνο κατὰ τὴν γνώμην ἢ τὸ βούλημά σου οὐ ζητήσεις, παντελῶς δ' αὐτῷ σε ἐπιτρέψεις, ἑνωθέντα τε καὶ εἰρηνεύοντά σε εὑρήσεις. ὅτι μηδὲν οὕτω γλυκανθήσεται καὶ ἀρέσει, ὡς ἡ τοῦ θεοῦ εὐδοκία. πᾶς οὖν ὃ τὴν προαίρεσιν αὐτοῦ ἁπλῇ καρδίᾳ ἄνω πρὸς τὸν θεὸν ἐπάρας, καὶ πάσης ἀτάκτου ἀγάπης ἢ δυσαρεστήσεως οὑτινοσοῦν κτίσματος ἑαυτὸν

ἀπαλλάξας, ἐπιτηδειέστατος λαμβάνειν τὴν χάριν, καὶ ἄξιος τοῦ τῆς εὐλαβείας δωρήματος ἔσται. ὁ γὰρ κύριος τὴν αὐτοῦ εὐλογίαν δίδωσιν, ὅτε τὰ σκεύη κενὰ εὑρίσκει. καὶ ὅσῳ ἄν τις τελειότερον τοῖς κάτω ἀποταξάμενος, μᾶλλον ἑαυτῷ διὰ τῆς ἑαυτοῦ καταφρονήσεως ἀποθάνῃ, τοσούτῳ τάχιον ἡ χάρις ἔρχεται, εὐπορώτερον εἴσεισι, καὶ τὴν ἐλευθέραν καρδίαν ὑψηλότερον ἐπαίρει.

δ. **Τ**ότε ὄψεται, καὶ εὐπορήσει, θαυμάσει τε καὶ πλατυνθήσεται ἡ καρδία αὐτοῦ ἐν αὐτῷ, ὅτι ἡ χεὶρ τοῦ κυρίου μετ' αὐτοῦ, καὶ αὐτὸς ἑαυτὸν εἰς τὴν χεῖρα αὐτοῦ παντελῶς ἕως τοῦ αἰῶνος ἀνέθετο. ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ τὸν θεὸν ἐξ ὅλης καρδίας αὐτοῦ ζητῶν, καὶ οὐκ ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ αἴρων. οὗτος τὴν ἱερὰν εὐχαριστίαν λαμβάνων μεγάλης χάριτος, τῆς θείας ἑνώσεως ἄξιος ἀποβαίνει, ὅτι οὐ τῆς ἰδίας εὐλαβείας καὶ παραμυθίας, ἀλλ' ὑπὲρ πᾶσαν εὐλάβειαν καὶ παραμυθίαν, τῆς τοῦ θεοῦ δόξης καὶ τιμῆς λόγον ἔχει.

Κεφ. ιϛ.

Ὅτι τὰς ἀνάγκας ἡμῶν τῷ Χριστῷ δηλῶσαι, καὶ τὴν χάριν αὐτοῦ αἰτῆσαι ὀφείλομεν. Ἡ φωνὴ τοῦ μαθητοῦ.

α. Ὦ ἥδιστε καὶ προσφιλέστατε κύριε, ὃν νῦν εὐλαβῶς ἐπιθυμῶ ὑποδέξασθαι, σὺ γινώσκεις τὴν ἀσθένειαν καὶ ἀνάγκην μου, ἣν πάσχω, ὁπόσοις κακοῖς καὶ ἁμαρτίαις περιεβλήθην. ὡς πολλάκις βαρύνομαι, πειράζομαι, ταράττομαι, καὶ μολύνομαι. θεραπείας ἕνεκα προσέρχομαί σοι· παράκλησιν καὶ κουφισμὸν δέομαί σου. λαλῶ τῷ πάντα εἰδότι, καὶ τῷ πάντα τὰ ἐντός μου ἐπιγνόντι, καὶ τῷ μόνον με τελείως παρακαλεῖν καὶ βοηθεῖν δυναμένῳ. σὺ ἐπίστασαι ὧν ἀγαθῶν χρήζω περὶ πάντων, καὶ ὡς ἐνδεὴς τῶν ἀρετῶν ὑπάρχω.

---

β. Ἰδού, παρίσταμαι ἔμπροσθέν σου, πένης καὶ γυμνὸς ὢν τὴν χάριν αἰτῶν καὶ τὸ ἔλεος ἐπικαλῶν. ἀνάτρεφε τὸν πεινῶντα πτωχόν σου, ἀνάπτε τὴν ψυχρότητά μου τῷ πυρὶ τῆς ἀγάπης σου, φώτισον τὴν τυφλότητά μου τῇ λαμπρότητι τῆς παρουσίας σου. τρέπε μοι πάντα τὰ ἐπίγεια εἰς πικρίαν,

βιβ: γ. κεφ: ις. στιχ: β. α χ π γ. κε ξα: 5.
πάντα βαρέα καὶ ἐναντία εἰς ὑπομο-
νήν, πάντα τὰ κάτω καὶ κτισθέντα εἰς
καταφρόνησιν καὶ λήθην. ἕλκυσε τὴν
καρδίαν μου πρὸς σὲ εἰς οὐρανόν, καὶ
μὴ ἔα με πλανᾶσθαι ἐπὶ τῆς γῆς.
σὺ μόνος μοι ἀπὸ τοῦ νῦν γλυκαίνου
ἕως τοῦ αἰῶνος, ὅτι σὺ μόνος ἡ βρώ-
σις καὶ πόσις μου, ἀγάπη μου, χαρά μου,
ἡδύτης μου, καὶ πάντα τὰ ἀγαθά μου.

---

γ. Εἴθε με παντέλως τῇ παρουσίᾳ σου
ἀνῆπτες, κατέκαιες, καὶ εἰς σὲ μετα-
ποιεῖς, ἵνα ἓν πνεῦμα μετὰ σοῦ γέ-
νωμαι, διὰ τῆς χάριτος τῆς ἔσω ἑνώ-
σεως, καὶ τῆς τήξεως τῆς ἐμπύρου ἀγά-
πης. μὴ περιόρα με ἄσιτον καὶ ξη-
ρόν σου ἀπὸ σοῦ ἀπερχόμενον, ἀλλ'
ἐργάζου μετ' ἐμοῦ ἐλεημόνως, καθά-
περ πλεονάκις μετὰ τῶν ἁγίων
σου θαυμαστῶς εἰργάσω. τί θαυ-
μαστόν, εἰ ὅλος ἐκ σοῦ ἐκπυρωθεὶς
ἐν ἐμαυτῷ ἐνέλειπον; ἐπειδὴ
σὺ εἶ πῦρ τὸ ἀεὶ ἀναφθὲν, καὶ μη-
δέποτε ἐνελεῖπον, ἡ ἀγάπη τὰς καρ-
δίας καθαρίζουσα καὶ τὴν σύνεσιν
φωτίζουσα;

Περὶ τῆς ἐκτενοῦς ἀγάπης καὶ δεινῆς ἐπιποθήσεως ὑποδέξασθαι τὸν Χριστόν.
Η φωνὴ τοῦ μαθητοῦ.

α'. ΣΥΝ μεγίστῃ εὐλαβείᾳ, καὶ ἐκτενεστάτῃ ἀγάπῃ, σὺν ὅλῃ ὁρμῇ καὶ ζέσει τῆς καρδίας ἐπιποθῶ, κύριε, ὑποδέξασθαί σε, καθὼς πολλοὶ ἅγιοι καὶ εὐλαβεῖς ἄνθρωποι κοινωνοῦντες ἐπεπόθησάν σε, οἵτινες τῇ τοῦ βίου ἁγιότητί σοι ὡς μάλιστα ἀρέσαντες τῆς ἐκτενεστάτης εὐλαβείας ἐπέτυχον. ὦ θεέ μου, ἀγάπη αἰώνιε, ὅλον τὸ ἀγαθόν μου, μακαριότης ἄπειρε, ἐφίεμαι ὑποδέξασθαί σε μετὰ δεινοτάτης ποθήσεως καὶ ἀξιωτάτης εὐλαβείας, ἣν τις τῶν ἁγίων ποτὲ εἶχεν ἢ αἰσθέσθαι ἠδυνήθη.

β'. Κἂν δ' ἀνάξιος γένωμαι πάντα ἐκεῖνα αἰσθήματα τῆς εὐλαβείας ἔχειν, ὅμως ὅλην τὴν τῆς καρδίας μου ὁρμὴν προσφέρω σοι, ὥσπερ ἂν εἰ πάντα ἐκεῖνα χαριέστατα καὶ ἐκτενέστατα ποθήματα μόνος ἔχοιμι. ἔτι δὲ καὶ πάντα, ὅσα εὐσεβὴς νοῦς συλλαμβάνειν καὶ ἐπιθυμεῖν δύναται, ταῦτα πάντα σοι, σὺν μεγίστῳ σεβάσματι, καὶ ἐνδοτάτῃ ζέσει παρέχω καὶ προσ-

βιβ: ά. κεφ: ιζ. στιχεῖ β. α χ π γ. κσ. Σκ: ζ.

δώρω, μηδέν μοι ἐλίπομαι τηρῆσαι, ἀλλὰ ἐμὲ καὶ πάντα τὰ ἐμὰ ἑκουσίως καὶ ἀσμένως σοὶ προσενεγκεῖν. κύριε ὁ θεός μου, κτίστης μου καὶ λυτρωτής μου, σὺν τοιαύτῃ διαθέσει, αἰδοῖ, ἐπαίνῳ καὶ τιμῇ, σὺν τοιαύτῃ εὐχαριστίᾳ, ἀξίᾳ καὶ ἀγάπῃ, σὺν τοιαύτῃ πίστει, ἐλπίδι καὶ καθαρότητι ἐπιθυμῶ σήμερόν σε ὑποδέχεσθαι, καθάπερ σε ὑπεδέξατο καὶ ἐπεθύμησεν ἡ ἁγιωτάτη μήτηρ σου ἡ ἔνδοξος παρθένος Μαρία, ὅτε τῷ ἀγγέλῳ τῷ εὐαγγελιζομένῳ αὐτῇ τὸ τῆς σαρκώσεως μυστήριον, ταπεινῶς καὶ εὐλαβῶς ἀπεκρίθη· ἰδοὺ ἡ δούλη ~~τοῦ~~ κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

---

γ΄. Καὶ ὡς ὁ μακάριος πρόδρομός σου, ὁ ἐξαιρετότατος τῶν ἁγίων Ἰωάννης βαπτιστής, παρόντος σου γηθοσύνως ἐσκίρτησεν ὑπὸ χαρᾶς τοῦ ἁγίου πνεύματος ἐν τῇ κοιλίᾳ τῆς μητρὸς ἔτι κλεισθείς. εἶτα δὲ εἰσορῶν τὸν Ἰησοῦν ἐν τοῖς ἀνθρώποις περιπατοῦντα, σφόδρα ἑαυτὸν ταπεινῶν, εὐλαβῶς ἔλεγεν· ὁ δεύτερος

τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ,
χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμ-
φίου· οὕτω κἀγὼ μεγάλῃ καὶ ἁγίᾳ ἐπιθυ-
μίᾳ ἐπιθυμῶ ἀνάπτεσθαι, καὶ ἐξ ὅλης τῆς
καρδίας ἐμαυτόν σοι παραστῆσαι· ὅθεν
καὶ πασῶν εὐλαβῶν καρδιῶν ἀλαλαγ-
μοὺς, πυρινὰς ὁρμὰς, νοερὰς ἐκστάσεις
τοὺς δι᾽ ἄνωθεν φωτισμοὺς καὶ οὐρανίους
ὁράσεις προσφέρω καὶ παρέχω σοι, με-
τὰ πασῶν ἀρετῶν καὶ ἐπαίνων ὑπὸ παν-
τὸς κτίσματος ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς
ὑμνουμένων ἢ ὑμνηθησομένων, ὑπ-
ὲρ ἐμοῦ καὶ πάντων τῶν ἐμοὶ ἐν δε-
ήσει συσταθέντων· ἵνα ὑπὸ πάντων ἀξί-
ως ἐπαινεθῇς καὶ εἰς αἰῶνα δοξασθῇς.

---

ό. Δέξαι τὰς εὐχάς μου, κύριε ὁ θεός μου,
καὶ τὰς ποθήσεις τῆς ἀπείρου αἰνέσεως, καὶ
ἀμέτρου εὐλογίας, ἅτινά σοι κατὰ τὸ
πλῆθος τοῦ ἀπορρήτου μεγέθους σου ἐν-
δίκως ὀφείλονται. Ταῦτά σοι ἀποδί-
δομι, καὶ ἀποδοῦναι ἐπιθυμῶ, καθ᾽ ἑ-
κάστην ἡμέραν καὶ ῥοπὴν τοῦ χρόνου, καὶ
εἰς τὸ ἀποδοῦναί σοι μετ᾽ ἐμοῦ τὰς
χάριτας καὶ ἐπαίνους πάντα τὰ οὐρά-

βιβ: δ. κεφ: ιζ. στιχ: δ. ἀρχαγγκς ἐκ: ζ.
νια πνεύματα, καὶ πάντας τοὺς πιστούς σου
δεόμενος καὶ ἐλιττόμενος καλῶ καὶ ἀξιῶ.

---

ε. Ἐπαινέσειάν σε πάντες οἱ λαοί, αἱ φυλαὶ καὶ γλῶτται, καὶ τὸ ἅγιον καὶ μελίρρυτον ὄνομά σου, μεγίστῳ ἀλαλαγμῷ καὶ ζεστῇ εὐλαβείᾳ μεγαλύνειαν. καὶ ὅσοι ἂν αἰδεσίμως καὶ εὐλαβῶς τὸ ὑψηλότατον μυστήριόν σου τελέσωσι, καὶ πλήρει πίστει λάβωσι, τὴν χάριν καὶ τὸ ἔλεος παρὰ σοὶ εὑρεῖν ἀξιωθεῖεν, καὶ ὑπὲρ ἐμοῦ ἁμαρτωλοῦ ἱκετεύσειαν. ὅταν δὲ τῆς ἐπιποθηθείσης εὐλαβείας καὶ ἀπολαυστικῆς ἑνώσεως τύχωσι, καὶ καλῶς παρακληθέντες καὶ θαυμαστῶς ἀνατραφέντες, ἀπὸ τῆς οὐρανίου τραπέζης ἀπέλθωσιν, ἐμοῦ τοῦ πένητος μνημονεύειαν ἀξιώσειαν.

---

## Κεφ: ιη.

**Π**ερὶ τοῦ μὴ εἶναι τὸν ἄνθρωπον πολυπράγμονα ἐξερευνητὴν τοῦ μυστηρίου, ἀλλὰ ταπεινὸν μιμητὴν τοῦ Χριστοῦ τὸν νοῦν αὐτοῦ τῇ ἱερᾷ πίστει ὑποτάττοντα. Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

α. Δεῖ φεύγειν σε τὸ περίεργον καὶ

ἀνωφελῆ ἐξέτασιν τοῦ βαθυτάτου μυστηρίου τούτου, εἰ μὴ θέλεις εἰς τὸ τῆς ἀπορίας βάθος καταποντίζεσθαι. ὁ τῆς μεγαλειότητος ἐξερευνητὴς ὑπὸ τῆς δόξης καταπιεσθήσεται· πλέον ὁ θεὸς ἐργάζεσθαι ἰσχύσειν, ἢ ὁ ἄνθρωπος ἔννοιαν δύναται. φορητός ἐστιν ἡ θεοσεβὴς καὶ ταπεινὴ ἐξερεύνησις τῆς ἀληθείας, ἑτοίμη οὖσα ἀεὶ διδάσκεσθαι, καὶ ἐν ταῖς τῶν πατέρων ὑγιαινούσαις γνώμαις πειρωμένη περιπατεῖν.

---

β. Μακαρία ἡ ἁπλότης, ἡ τὰς χαλεπὰς τῶν ζητημάτων ὁδοὺς καταλείπουσα, κἀν τῇ λείᾳ καὶ βεβαίᾳ τρίβῳ τῶν ἐντολῶν τοῦ θεοῦ βαδίζουσα. πολλοὶ δὲ τὰ ὑψηλότερα ἐξερευνᾶν ἐθελήσαντες τὴν εὐλάβειαν ἀπώλεσαν. ἡ πίστις παρά σου ἀπαιτεῖται καὶ εἰλικρινὴς βίος, ἀλλ' οὐ τὸ ὕψος τῆς συνέσεως, οὐδὲ τὸ βάθος τῶν μυστηρίων τοῦ θεοῦ. εἰ οὐ νοεῖς, οὐδὲ χωρεῖς τὰ κάτω σου, πῶς καταλήψῃ τὰ ἄνω σου; ὑποτάγηθι τῷ θεῷ, καὶ ταπείνωσον τὸν νοῦν τῇ πίστει, καὶ τὸ τῆς ἐπιστήμης φῶς σοι δοθήσεται, καθὼς σοι ὠφέλιμον καὶ ἀναγκαῖον γένηται.

γ. Ἔνιοι δεινῶς περὶ τῆς πίστεως καὶ τοῦ μυστηρίου πειράζονται, τοῦτο δ' οὐκ αὐτοῖς, ἀλλὰ τῷ ἐχθρῷ ἀνατεθετέον. μὴ μελέτω σοι, μηδὲ πρὸς τοὺς λογισμοὺς σου διαλέγου, μηδὲ ταῖς ὑπὸ τοῦ διαβόλου εἰσβληθείσαις ἀπορίαις ἀποκρίνου, ἀλλὰ πίστευε τοῖς τοῦ θεοῦ λόγοις, πίστευε τοῖς ἁγίοις αὐτοῦ καὶ τοῖς προφήταις, καὶ ὁ ἐχθρὸς ἀπὸ σοῦ φεύξεται. πολλάκι σφόδρα συμφέρει τὸν τοῦ θεοῦ δοῦλον τοιαῦτα ὑπομένειν. τοὺς μὲν γὰρ ἀπίστους καὶ ἁμαρτωλοὺς, οὓς ἀσφαλῶς νῦν κέκτηται, οὐ πειράζει, τοὺς δὲ πιστοὺς καὶ εὐλαβεῖς ποικίλοις τρόποις πειράζει καὶ κακοῖ.

---

δ. Διατέλει οὖν ἁπλῶς καὶ ἀναμφισβητήτως πιστεύων, καὶ σὺν ἁπλῇ αἰδοῖ πρὸς τὸ μυστήριον προσέρχου. καὶ πᾶν ὅ, τι γινώσκειν οὐκ ἰσχύεις, τῷ παντοδυνάμῳ θεῷ ἀφροντίστως ἐπίτρεπε. οὐ σφάλλει σε ὁ θεός. σφάλλεται δ' ὁ ἑαυτῷ ἄγαν πιστεύων. συμπεριπατεῖ ὁ θεὸς τοῖς ἁπλοῖς, ἀποκαλύπτει ἑαυτὸν τοῖς ταπεινοῖς, συνετίζει τοὺς ἄφρονας, διανοίγει

τὸν νοῦν ταῖς καθαραῖς ψυχαῖς, καὶ
ἀποκρύπτει τὴν χάριν τοῖς πολυπράγ-
μοσι καὶ ὑπερηφάνοις. ὁ μὲν λόγος ἀν-
θρώπειος ἀσθενής ἐστι, καὶ ἀπατᾶσθαι δύ-
ναται· ἡ δὲ ἀληθινὴ πίστις ἀπατᾶσθαι οὐ
δύναται.

---

ε. Πᾶς λόγος καὶ φυσικὴ ἐξερεύνησις
ὀφείλει τῇ πίστει ἀκολουθεῖν, ἀλλ᾽ οὐ προ-
άγειν ἢ καταγνύειν. ἡ γὰρ πίστις καὶ ἀγά-
πη ἐκεῖ μάλιστα προέχουσι, καὶ κρυφῇ
ἐν τῷ ἁγιωτάτῳ καὶ ὑπερβλητοτάτῳ
μυστηριωτάτῳ ἐργάζονται. ὁ θεὸς
αἰώνιος καὶ ἀμέτρητος, καὶ ἀπείρως δυνα-
τὸς ποιεῖ τὰ μεγάλα καὶ ἀνεξερεύνητα
ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, καὶ οὐκ ἔστιν
ἐξιχνιασμὸς τῶν θαυμασίων ἔργων
αὐτοῦ. εἰ τοιαῦτα ἦν τοῦ θεοῦ ἔργα, ὥστε
ῥᾳδίως ὑπὸ τοῦ λόγου τοῦ ἀνθρωπείου
χωρηθῆναι, οὐκ ἂν θαυμάσια, οὐδ᾽ ἀπόῤ-
ῥητα ἐγένετο.

**ΤΕΛΟΣ.**

37 77

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg
MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

78

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg
MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

87

BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg

τὸν θεόν μου δεηθήσομαι. τέλος δὲ τοῦ
τῆς δεήσεως αὐτοῦ καρποῦ κομίζεται,
καὶ ὅτι εἰσηκούσθη, μαρτυρεῖ λέγων· ἤκουσε
κύριος, καὶ ἠλέησέ με. κύριος ἐγενήθη
βοηθός μου. ἀλλ' ἐν τίνι; ἔστρεψας τὸν
κοπετόν μου, εἰς χαρὰν ἐμοί, καὶ περιέζω-
σάς με εὐφροσύνην. εἰ οὕτως εἶχον οἱ
τῇ ἁγιότητι διαφέροντες, ἡμᾶς τοὺς
ἀσθενεῖς καὶ πτωχοὺς ὄντας οὐ δεῖ ἀπελπί-
ζειν, εἰ ἐνίοτε ζεστοί, ἐνίοτε δὲ ψυχροί
ἐσμεν. ὅτι τὸ πνεῦμα ἔρχεται, καὶ ὑπά-
γει κατὰ τὴν εὐδοκίαν αὐτοῦ. ὅθεν ὁ
ἅγιος Ἰὼβ λέγει. ἐπισκέπτῃ αὐτὸν πρω-
ΐας, καὶ ~~ω~~ ἀφνιδίως ἐκδοκιμάζεις αὐτόν.

---

ιγ. ζ.

5. Ἐν τίνι οὖν ἐλπίζειν δύναμαι, ἢ τίνι πε-
ποιθέναι, εἰ μὴ τῷ μεγάλῳ ἐλέει τοῦ θεοῦ,
καὶ μόνῃ τῇ ἐλπίδι τῆς χάριτος οὐρανίου;
εἴτε γὰρ παραγίνονται ἄνθρωποι ἀγα-
θοί, εἴτε ἀδελφοὶ εὐλαβεῖς, ἢ φίλοι
πιστοί, εἴτε ἅγια βιβλία, ἢ συγγράμμα-
τα καλά, εἰ ἡδὺ ᾆσμα καὶ ὕμνοι. ἅπαντα
ταῦτα ἐστὶ τῆς χάριτος ἀπορηθέντα καὶ ἐν
πενίᾳ καταλειφθέντα ὀλίγον ὠφελεῖ, καὶ ὀλί-
γον εὐαρεστεῖ, τότε βέλτιον θεραπεία
οὐχ ὑπάρχει τῆς ὑπομονῆς καὶ τῆς ἀπαρνήσε-
ως ἑαυτοῦ ἐν τῷ τοῦ θεοῦ θελήματι.

ζ. Οὔποτε εὗρον τινα οὕτω περὶ τὰς
ἀσκήσεις καὶ τὴν εὐλάβειαν σπουδάζοντα
ᾧτινι ἡ χάρις ἐνίοτε οὐκ ἀφῃρέθη, ἢ ὃς
μείωσιν τῆς ζέσεως οὐκ ᾔσθετο. οὐδεὶς ἅ-
γιος οὕτως ὑψηλὸς ἐξέστι, ἢ διεφωτίσθη
ὃς πρότερον, ἢ ἔπειτα, οὐκ ἐπειράσθη. οὐ γὰρ
τῆς τοῦ θεοῦ θεωρίας ὑψηλῆς ἄξιός ἐστιν,
ὃς θλίψει τινὶ ὑπὲρ θεοῦ οὐκ ἠσκήθη. καὶ
γὰρ ὁ προελθὼν πειρασμὸς τῆς ἐπομέ-
νης παρακλήσεως σημεῖόν ἐστιν, ἐπὶ τοῖς
δοκιμασθεῖσιν διὰ τῶν πειρασμῶν
ἡ τῆς ἐπουρανίου παρακλήσεως ὑπόσχεσις
γίνεται. τῷ νικῶντι, φησί, δώσω φαγεῖν
ἐκ τοῦ ξύλου τῆς ζωῆς.

---

η. ἰδ. α.

Ἡ δὲ θεία παραμυθία δίδοται, τοῦ
εἶναι τὸν ἄνθρωπον ἰσχυρότερον εἰς τὸ
ὑπομένειν τἀναντία. καὶ ὁ πειρασμὸς ἕ-
πεται, τοῦ μὴ τῷ ἀγαθῷ ὑπεραίρεσθαι.
οὐ καθεύδει ὁ διάβολος καὶ οὔπω ἡ σὰρξ
ἀπέθανε. διόπερ μὴ λῆγε παρασκευα-
ζόμενός σε πρὸς τὸν ἀγῶνα, ὅτι ἐκ δεξι-
ῶν καὶ εὐωνύμων πολέμιοί εἰσιν οἱ οὐδε-
πώποτε ἀναπαυόμενοι.

## Κεφ. ι΄. ος

## Περὶ τῆς εὐχαριστίας ὑπὲρ τῆς τοῦ θεοῦ χάριτος.

α. Διὰ τί τὴν ἡσυχίαν ζητεῖς εἰς τὸ πονεῖν γεγεννημένος; παρασκεύαζου δὲ πρὸς τὴν ὑπομονὴν μᾶλλον, ἢ πρὸς τὰς παρακλήσεις, καὶ μᾶλλον ἐπὶ τὸ βαστάζειν τὸν σταυρόν, ἢ ἐπὶ τὴν εὐφροσύνην. τίς γὰρ τῶν τοῦ κόσμου οὐκ ἂν ἀσμένως παραμυθίαν, καὶ χαρὰν πνευματικὴν ἔλαβεν, εἰ πάντοτε ἔχειν ἐδύνατο; αἱ γὰρ πνευματικαὶ παραμυθίαι πασῶν τρυφῶν τοῦ κόσμου, καὶ τῶν ἡδονῶν τῆς σαρκὸς ὑπερέχουσι. πᾶσαι γὰρ τρυφαὶ κοσμικαί, ἢ μάταιαι, ἢ αἰσχραί εἰσιν. αἱ δὲ πνευματικαὶ τρυφαί, μόναι ἡδεῖαι καὶ καλαὶ οὖσαι ἐκ τῶν ἀρετῶν γεγόνασι, καὶ παρὰ τοῦ θεοῦ ταῖς καθαραῖς ψυχαῖς ἐγχέονται. Ἀλλὰ μὴν τάσδε τῶν θείων παρακλήσεων οὐδεὶς ἀεὶ κατὰ τὴν γνώμην ἀπολαύειν οἷός τε γίνεται τότε τὸ τοῦ πειρασμοῦ χρόνος οὐ διὰ πολλοῦ λήγει.

β. Ἡ δὲ ψευδὴς ἐλευθερία τῆς ψυχῆς καὶ μεγάλη πεποίθησις ἡ περὶ αὐτοῦ, τῇ ἐπισκέψει τῇ ἄνωθεν πολὺ ἐναντιοῦται. ὁ μὲν θεὸς εὖ ποιεῖ τὴν τῆς παραμυθίας χάριν διδούς. ὁ δ' ἄνθρωπος κακῶς πράττει, ὁ οὐκ

Βιβ. β. κεφ. ι. στιχ. β. α. χ. π. ν. κ. Μην. α.
ὅλον τῷ θεῷ σὺν εὐχαριστίᾳ ἀποδιδούς·
καὶ διὰ τοῦτο τὰ τῆς χάριτος δῶρα ἐν ἡμῖν
οὐ δύναται ῥέειν, ὅτι πρὸς τὸν δοτῆρα
ἀχαριστοῦμεν, οὐδὲ ὅλον εἰς τὴν πηγαί-
αν ἀρχὴν ἀναχέομεν. ἡ γὰρ χάρις ἀεὶ
ὀφείλεται τῷ τὴν χάριν ἀξίως ἀποδι-
δόντι, καὶ ἀφαιρεθήσεται τοῦ ἐπηρμένου,
ὅ,τι τῷ ταπεινῷ δίδοσθαι εἴωθεν.

---

ιε. β.

γ. Οὐκ ἐθέλω τὴν παράκλησιν, τὴν σύνν-
ξιν μου ἀφαιροῦσαν. οὐδ' ἐπιθυμίαν τῆς
θεωρίας τῆς εἰς ἔπαρσιν με ἐξαγούσης.
οὐ γὰρ πᾶν ὑψηλὸν ἅγιον. οὐδὲ πᾶν ἡδὺ κα-
λόν. οὐδὲ πᾶσα ἐπιθυμία καθαρά.
οὐδὲ πᾶν ἀγαπητόν, τῷ θεῷ εὐάρεστον.
ἀσμένως ἀποδέχομαι τὴν χάριν ἐξ
ἧς ἂν ταπεινότερος καὶ εὐλαβέστερος αἰεὶ
εὑρεθῶ, καὶ εἰς τὸ καταλιπεῖν με ἑτοι-
μότερος γένωμαι. ὁ τῷ τῆς χάριτος
δώρῳ διδαχθείς, καὶ τῇ μάστιγι τῆς ἀφαι-
ρέσεως αὐτῆς παιδευθείς, οὐ τολμήσει
ἑαυτῷ ἀγαθόν τι ἀνατιθέναι, ἀλλὰ
μᾶλλον ἑαυτὸν πτωχὸν καὶ γυμνὸν ὁμο-
λογήσει. τῷ θεῷ δὸς τὰ τοῦ θεοῦ, σοὶ
δὲ τὸ σοῦ ἀνάθες, τουτέστι, τῷ θεῷ

τὴν χάριν ἀντὶ τῆς χάριτος ἀπόδος, ὅτι δὲ τὴν αἰτίαν καὶ τὴν ἀξίαν ποιεῖν ὑπὲρ τῆς αἰτίας ὀφείλεται γνῶθι.

δ. Καταχλίθητι ἀεὶ εἰς τὸ κατώτατον, καὶ τὸ ἀνώτατον σοι δοθήσεται, ὅτι τὸ ἀνώτατον ἄνευ τοῦ κατωτάτου οὐχ ὑφίσταται. οἱ ἅγιοι οἱ παρὰ τῷ θεῷ μέγιστοι, ἐνώπιον αὐτῶν ἐλάχιστοί εἰσι, καὶ ὅσῳ ἐνδοξότεροι τοσούτῳ καθ' ἑαυτοὺς ταπεινότεροι γίνονται. τῆς ἀληθείας καὶ τῆς δόξης οὐρανίου πλήρεις ὄντες, οὐ κενοδοξοῦσιν. οἱ ἐν τῷ θεῷ βεβαιωθέντες καὶ θεμελιωθέντες μηδαμῶς ἐπαρθῆναι δύνανται. καὶ οἱ πᾶν ὅ,τι ἔλαβον τῷ θεῷ ἀνατιθέντες, δόξαν παρ' ἀλλήλων οὐ ζητοῦσιν. ἀλλὰ τὴν δόξαν τὴν παρὰ μόνου θεοῦ, ἐπιποθοῦντες, καὶ τὸν θεὸν ἐν ἑαυτοῖς καὶ ἐν πᾶσι τοῖς ἁγίοις ἐπαινεῖν ὑπὲρ πάντα ἐφίενται, καὶ πάντοτε ἐπὶ τῷ αὐτὸ τείνουσιν.

ε. Γίνου τοίνυν εὐχάριστος ἀντὶ τοῦ ἐλαχίστου καὶ τῶν μειζόνων ἀξιωθήσῃ. περὶ πλείστου καὶ τοὐλάχιστον ποιοῦ, καὶ τὸ εὐκαταφρονητότερον, ἴδιον δῶρον νόμιζε. ἐὰν τὸ τοῦ δοτῆρος ἀξίωμα σκοπεῖται, μηδὲν δώρημα μικρὸν, ἢ ἄγαν εὐτελὲς δοκήσει. οὐ γὰρ μικρόν ἐστι τὸ παρὰ τοῦ θεοῦ δοθέν. εἰ καὶ τὰς ποινὰς, καὶ τὰς μάστιγας δίδωσιν, εὐπρόσδεκτον δεῖ

βιβ. β. κεφ. ι. στιγμὴ ε. αχπγ. ιε Νοεμβ. ἠγέσθη. ἐπειδὴ ἀεὶ ὑπὲρ τῆς σωτηρίας ἡμῶν ποιεῖ, ὅ,τι ἡμῖν συμβαίνειν ἐᾷ. Ὁ τὴν τοῦ θεοῦ χάριν διαφυλάττειν ἐπιθυμῶν, ἀντὶ τῆς δοθείσης χάριτος εὐχάριστος, καὶ τῆς ἀφαιρεθήσης ὑπομονητικὸς γινέσθω, δεηθήτω αὐτὴν ἀναστρέφειν. εὐλαβὴς καὶ ταπεινὸς ἔστω μὴ ἀπολέσῃ.

---

βιβ. γ. κεφ. ια.

## Περὶ τῆς ὀλιγότητος τῶν φιλοσταύρων τοῦ Ἰησοῦ.

α. Ἔχει νῦν ὁ Ἰησοῦς πολλοὺς φιλητὰς τῆς βασιλείας αὐτοῦ τῆς ἐν οὐρανοῖς, ἀλλ᾽ ὀλίγους τοῦ σταυροῦ αὐτοῦ βαστακτάς. πολλοὺς μὲν ἔχει ἐπιθυμητὰς τῆς παρακλήσεως, ὀλίγους δὲ τῆς θλίψεως. πλείους εὑρίσκει ἑταίρους τῆς τραπέζης, ἀλλ᾽ ὀλίγους τῆς ἀποχῆς. πάντες μετ᾽ αὐτοῦ χαίρειν ἐφίενται, ὀλίγοι δὲ ὑπὲρ αὐτοῦ, ἢ μετ᾽ αὐτοῦ ὑπομένειν τι βούλονται. πολλοὶ ἀκολουθοῦσι τῷ Ἰησοῦ ἕως τῆς κλάσεως τοῦ ἄρτου. ὀλίγοι δὲ μέχρι τοῦ πιεῖν τὸ ποτήριον τοῦ πάθους. πολλοὶ τὰ θαύματα αὐτοῦ σέβονται, ὀλίγοι τὴν ἀθυμίαν τοῦ σταυροῦ διώκουσι. πολλοὶ τὸν Ἰησοῦν ἀγαπῶσιν ἐφ᾽ ὅσον τὰ ἀτυχήματα οὐ συμβαίνει. πολλοὶ αὐτὸν ἐπαινοῦσιν ἕως παρ᾽ αὐτοῦ τινὰς παρακλήσεις τινὰς ἔχουσιν. ἐὰν δὲ ὁ Ἰησοῦς κρυβῇ καὶ

μικρὸν αὐτῷ καταλείπῃ, ἢ εἰς τὴν μεμ-
ψιμοιρίαν, ἢ εἰς τὴν ἀθυμίαν τὸ ἄγαν ἐμ-
πίπτουσιν. 86

β. Οἱ δὲ Ἰησοῦν διὰ τὸν μὲν Ἰησοῦν, οὐδὲ διὰ
τὴν ἰδίαν τινὰ παράκλησιν ~~ἀλλ~~ ἀγαπῶ-
σιν, αὐτὸν ἐν πάσῃ θλίψει καὶ μικροψυχίᾳ
ὥσπερ ἐν μεγίστῃ παραμυθίᾳ εὐλογοῦσι.
καὶ εἰ αὐτοῖς μηδέποτε παράκλησιν διδό-
ναι ἤθελεν, ὅμως αὐτὸν ἀεὶ ἐπαινεῖν καὶ
ἀεὶ εὐχαριστεῖν ἂν ἐβούλοντο.

γ. Ὢ πόσον ἡ τοῦ Χριστοῦ ἀγάπη καθαρὰ ἰ-
σχύει, μηδεμιᾶς ἰδίας ὠφελείας ἢ φιλαυ-
τίας μεταμιγνύσα; οὐχὶ πάντας μαθω-
τοὺς δεῖ ὀνομάζειν, οἵτινες ἀεὶ τὰς πα-
ρακλήσεις ζητοῦσιν; οὐχὶ δῆλόν ἐστιν ὅτι
φίλαυτοι μᾶλλον, ἢ φιλόχριστοί εἰσιν, οἵ-
τινες πάντοτε τὴν ~~ὠφέλειαν~~ ὠφέλειαν
καὶ τὰ κέρδη αὐτῶν σκέπτονται; πῶς τοι-
οῦτος εὑρεθήσεται, ὃς ἂν τῷ Χριστῷ ἀ-
μισθὶ δουλεύειν βούληθῇ;

ιβ. δ.

δ. Σπανίως οὕτω πνευματικός τις εὑρίσκεται
ὃ πάντων ἐγυμνώθη. τὸν γὰρ ἀληθῶς τῷ
πνεύματι πτωχόν, καὶ πάσης κτίσεως γυμ-
νὸν τίς εὑρήσει; πόρρωθεν καὶ ἀπ' ἐσχάτων
ὅρων τὸ τίμημα αὐτοῦ. ἐὰν δῷ ἀνὴρ

βιβ. β. κεφ. ια, στιγμὴ δ. [illegible]
πάντα τὸν βίον αὐτοῦ, μηδὲν ἔτι ἐστί.
κἂν μεγάλην μετάνοιαν ὑπομείνῃ, μι-
κρὸν ἔτι ἐστί. κἂν πᾶσαν γνῶσιν ἕλῃ, ἔτι
μακρὰν ἀπέχει. κἂν ἔχῃ μεγάλην δύνα-
μιν καὶ εὐλάβειαν τὴν λίαν ζεστὴν, ἔτι
πολλοῦ ἀπορεῖ, ἑνὸς δήπου αὐτῷ ἀναγκαι-
οτάτου. τί τοῦτο; τὰ + πάντα καταλιπόντα ἑαυ-
~~τὸν~~ ἑαυτὸν καταλιπεῖν, παντελῶς αὐτοῦ
ἐξελθεῖν, μηδὲν τῆς φιλαυτίας διατηρ-
ῆσαι, καὶ τὰ πάντα ποιήσαντα, ἅπερ ἔγνω
ποιητέα, μηδὲν αὐτὸν ποιῆσαι, νομίσαι.

---

ε. Οὐ περὶ πολλοῦ ποιήσαιτο, ὅτι ἄν τις πε-
ρὶ πολλοῦ ποιεῖσθαι δύναιτο· ἀληθῶς δὲ ὁ-
μολογῆσαι, ἑαυτὸν δοῦλον ἀχρεῖον εἶναι,
καθὼς ἡ ἀλήθεια λέγει· ὅταν ποιήσητε πάν-
τα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι δοῦ-
λοι ἀχρεῖοί ἐσμεν. τότε ὄντως πτωχὸς καὶ
τῷ πνεύματι γυμνὸς εἶναι, καὶ σὺν τῷ προ-
φήτῃ εἰπεῖν δυνήσεται· ὅτι μονογενὴς καὶ
πτωχός εἰμι ἐγώ. ἀλλ᾽ ὅμως οὐδεὶς ἐλευ-
θερώτερος ὑπάρχει, τοῦ ἑαυτὸν καὶ πάντα
καταλιπεῖν, καὶ εἰς τὸ κατώτατον ἐπισταμέ-
νου.

---

## Κεφ. ιβ.

## Περὶ τῆς δημοσίας ὁδοῦ τοῦ ἁγίου σταυροῦ.

α. Οὗτος ὁ λόγος πολλοῖς σκληρὸς εἶναι δοκεῖ, ἀπαρνήσασθαι σεαυτόν, καὶ ἆρον τὸν σταυρόν σου, καὶ ἀκολούθει τῷ Ἰησοῦ. πολλῷ δὲ σκληρότερον ἔσται ἐκείνου τοῦ ἐσχάτου λόγου ἀκοῦσαι· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον. οἱ γὰρ νῦν ἀσμένως ἀκούοντες, καὶ τῷ λόγῳ τοῦ σταυροῦ ἀκολουθοῦντες, ἀπ' ἀκοῆς τοῦ αἰωνίου κρίματος οὐ φοβηθήσονται. τοῦτο τὸ σημεῖον τοῦ σταυροῦ ἔσται ἐν τῷ οὐρανῷ, ὅταν ὁ κύριος εἰς τὸ κρίνειν ἔλθῃ. τότε πάντες οἱ δοῦλοι τοῦ σταυροῦ, οἱ τῷ Χριστῷ ἐν τῇ ζωῇ συμμορφωθέντες τῷ Χριστῷ κρίνοντι σὺν μεγάλῃ πεποιθήσει προσελεύσονται.

---

β. Τί οὖν φοβῇ τὸν σταυρὸν τὸν εἰς τὴν βασιλείαν ἄγοντα; ἐν τῷ σταυρῷ ἡ σωτηρία, ἐν τῷ σταυρῷ ἡ ζωή, ἐν τῷ σταυρῷ τὸ σκέπασμα ἀπὸ τῶν ἐχθρῶν, ἐν τῷ σταυρῷ ἡ ἔγχυσις τῆς ἄνω γλυκύτητος, ἐν τῷ σταυρῷ ἡ ῥώμη τῆς ψυχῆς, ἐν τῷ σταυρῷ ἡ χαρὰ τοῦ πνεύματος, ἐν τῷ σταυρῷ τὸ κεφάλαιον τῆς ἀρετῆς, ἐν τῷ σταυρῷ ἡ τελειότης τῆς ἁγιωσύνης. οὐκ ἔστι σωτηρία τῆς ψυχῆς, οὐδ' ἐλπὶς τῆς ζωῆς αἰωνίου, εἰ μὴ ἐν τῷ σταυρῷ. ἆρον οὖν τὸν σταυρόν σου, καὶ ἀκολούθει τῷ Ἰησοῦ, καὶ ἐλεύσῃ εἰς τὴν ζωὴν

Βιβ. β. κεφ. ιβ. στιχ. β. ... Ματθ. δ.

αἰώνιον. προηγαγεν αὐτὸς βαστάσας αὐτῷ τὸν σταυρὸν, ἵνα καὶ σὺ βαστάσῃς τὸν σταυρόν σου, καὶ ἐπιθυμήσῃς θανεῖν ἐν τῷ σταυρῷ. εἰ γὰρ αὐτῷ συνθανῇ, καὶ ἅμα συζήσεις αὐτῷ· καὶ εἰ ἔσῃ κοινωνὸς τῆς ποινῆς, ἔσῃ καὶ τῆς δόξης.

γ. Ἰδοὺ ἐν τῷ σταυρῷ τὸ πᾶν ἐτέθη, καὶ ἐν τῷ θανεῖν τὸ πᾶν κεῖται· καὶ εἰς τὴν ζωὴν, καὶ τὴν ἀληθινὴν εἰρήνην ἔσω οὐκ ἔστιν ἄλλη ὁδὸς, πλὴν τοῦ ἁγίου σταυροῦ, καὶ τῆς νεκρώσεως τῆς καθημέραν. περιπάτει, ὅπου ἂν θέλεις, ζήτει ὅτι ἂν βούλῃ, καὶ ὑψηλοτέραν ὁδὸν οὐχ εὑρήσεις ἄνω, οὐδ' ἀσφαλεστέραν κάτω, εἰ μὴ τὴν ὁδὸν τοῦ ἁγίου σταυροῦ. διάθες καὶ διάταξον κατὰ τὴν βούλησιν καὶ τὴν δόκησιν σου, καὶ οὐχ εὑρήσεις εἰ μὴ τὸ χρῆν ἀεὶ παθεῖν τι, ἢ ἑκόντι ἢ ἄκοντι, καὶ οὕτω πάντοτε σταυρὸν εὑρήσεις. ἢ γὰρ τὸ σῶμα ἀλγήσεις, ἢ ἐν τῇ ψυχῇ τὴν τοῦ πνεύματος θλίψιν ὑπομενεῖς.

ιη. ε.

δ. Ἐνίοτε ὑπὸ τοῦ θεοῦ καταλειφθήσῃ, ἐνίοτε ὑπὸ τοῦ πλησίον ἀσκηθήσῃ, καὶ τὸ πλέον, πολλάκις σεαυτῷ φορτικὸς ἔσῃ, οὐδενὶ δὲ

 

φαρμάκῳ ἢ παρακλήσει ἀπαλλαγῆναι,
ἢ θεραπευθῆναι δυνήσῃ· ἀλλὰ ἀνέχεις
ἕως ὁ θεὸς ἂν βούληται, δεῖ σε ἀνέχεσθαι.
ὁ γὰρ θεὸς ἐθέλει, ἵνα τὴν θλίψιν ἄνευ
τῆς παραμυθίας παθεῖν μάθῃς, παντάπασι
τῷ αὐτῷ ὑποταγῇς καὶ ταπεινότερος ἐκ τῆς
θλίψεως γένῃ. οὐδεὶς οὕτως ἐκ τῆς καρ-
δίας, τοῦ πάθους τοῦ Χριστοῦ αἰσθάνεται ὡς ἐκ-
εῖνος ᾧτινι παθεῖν συμβῇ. ὁ τοίνυν σταυ-
ρὸς πάντοτε ἑτοιμός ἐστι, καὶ πανταχοῦ σε
προσδοκᾷ. οὐχ οἷός τε εἶ ἐκφυγεῖν ὅποι
ἂν δράμῃς, ὅτι ὅποι ἂν πορευθῇς σεαυτὸν
σὺν σεαυτῷ βαστάζεις καὶ ἀεὶ σεαυτὸν εὑ-
ρήσεις. ἐπιστράφηθι ἄνω, ἐπιστράφηθι
κάτω, ἐπιστράφηθι ἔξω ἐπιστράφηθι ἔσω,
καὶ ἐν πᾶσι τούτοις τὸν σταυρὸν εὑρήσεις,
καὶ πανταχοῦ ὑπομονῆς ἔχεις χρείαν, εἰ
θέλεις εἴσω εἰρηνεύσαι. καὶ τοῦ στεφάνου
τοῦ αἰωνίου τυχεῖν.

---

ε. Εἰ ἀσμένως τὸν σταυρὸν βαστάζεις, βα-
στάσει σε, καὶ εἰς τὸ θέλος ἐπιπόθητον ἄξει
σε, ὅπου δηλονότι τὸ τέλος τοῦ παθεῖν ἔσται,
κἂν ~~ἐνθάδε~~ ἐνταῦθα οὐ γένηται. εἰ ἄκοντι
βαστάζεις, φορτίον σοι μὲν κατεσκευάσῃ,
καὶ σεαυτὸν μᾶλλον βαρύνεις, ὑπομένειν
δὲ σοι ἐπάναγκες. εἰ ἀπορρίπτεις ἕνα σταυ-
ρόν, ἀληθῶς ἄλλον, καὶ ἴσως βαρύτερον εὑρήσεις.

Βιβ. β. κεφ. ιβ. στιχ. ε. ᾳχπν. ιη Μαΐ. ε

ϛ. Σὺ νομίζεις ἐκφεύξεσθαι, ὅπερ οὐδεὶς τῶν ἀνθρώπων ἐκκλῖναι ἐδυνήθη; τίς τῶν ἁγίων ἐν τῷ κόσμῳ χωρὶς σταυροῦ καὶ θλίψεως ἐγένετο; οὐ γὰρ ὁ Ἰησοῦς Χριστὸς, ὁ κύριος ἡμῶν οὐδεμίαν ὥραν τῆς ἀλγηδόνος τοῦ πάθους διέμεινεν, ἕως ἔζη. οὐχὶ (φησὶ) ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ~~οὕτως~~ οὕτως εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; πῶς δὲ σὺ ἄλλην ὁδὸν ζητεῖς, ἢ τήνδε τὴν δημοσίαν, ἥπερ ἐστὶν ἡ ὁδὸς τοῦ ἁγίου σταυροῦ;

ζ. Ὅλος ὁ βίος τοῦ Χριστοῦ σταυρὸς καὶ μαρτύριον γέγονε· καὶ σὺ ἀνάπαυσιν καὶ χαρὰν ζητεῖς; πλανᾷ, πλανᾷ ἄλλο ζητῶν ἢ τὸ παθεῖν τὰς θλίψεις, ὅτι πᾶς ὁ βίος οὗτος ὁ θανάσιμος γέμει ταλαιπωριῶν, καὶ τοῖς σταυροῖς περιεσημειώθη. καὶ ὅσῳ τις ὑψηλότερον τῷ πνεύματι προκόπτει, τοσούτῳ δεινοτέρους σταυροὺς πολλάκις εὑρίσκει, ὅτι ἡ τοῦ ἐξορισμοῦ αὐτοῦ ποινὴ ἐκ τῆς ἀγάπης αὐξάνεται.

ιθ. ϛ.

η. Ἀλλ' ὅμως οὗτος τόνδε τὸν τρόπον πολλαπλασίως κακοπαθῶν, τῆς τῆς παραμυθίας κουφισμοῦ οὐκ ἀπορεῖ, ὅτι μέγιστον

π
καρπὸν ἐκ τοῦ τὸν ~~τὸν~~ σταυρὸν αὐτοῦ 89
ὑπομένειν αὔξεσθαι ἀνιστάνεται. ἑκουσίως
γὰρ ἑαυτὸν τῷ σταυρῷ ὑποτάττοντι ἅ-
παν τὸ τῆς θλίψεως φορτίον, εἰς τὴν τῆς
θείας παρακλήσεως πεποίθησιν μετα-
βάλλεται. καὶ ὅσῳ μᾶλλον ἡ σὰρξ τῇ
κακώσει κατατρίβεται, τοσούτῳ πλέον
τὸ πνεῦμα τῇ ἔσω χάριτι κραταιοῦται.
καὶ δή ποτε οὕτως ἐνισχύει ἐκ τοῦ ἐπιθυ-
μεῖν τῆς θλίψεως καὶ τῆς συμφορᾶς
διὰ τὴν ἀγάπην τῆς συμμορφώσεως
τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἵνα μὴ ἀναλγή-
τως καὶ ἀκακώτως βιῶσαι βουληθῇ, ὅτι
πιστεύει τοσούτῳ χαριέστερον τῷ θεῷ
γίνεσθαι, ὅσῳπερ ἂν πλείω καὶ δεινότε-
ρα ὑπὲρ αὐτοῦ ἀνέχεσθαι δυνηθείη.
τοῦτο οὐκ ἔστιν ἡ δύναμις τοῦ ἀνθρώπου,
ἀλλ' ἡ χάρις τοῦ Χριστοῦ, ἡ τοσοῦτο δυνα-
μένη καὶ κατεργαζομένη ἐν τῇ σαρκὶ
ἀσθενεῖ· ὅπως, ὅ,τι φυσικῶς ἀεὶ μυσάτ-
τεται καὶ φεύγει, τότε τῇ ζέσει τοῦ
πνεύματος ἐπιχειρήσῃ καὶ φιλήσῃ.

---

θ. Οὐ πέφυκεν ὁ ἄνθρωπος τὸν σταυρὸν
βαστάζειν, τὸν σταυρὸν φιλεῖν, τὸ σῶμα
ὑποπιάζειν, καὶ δουλαγωγεῖν, τὰς τιμὰς φεύ-
γειν, τὰς ὕβρεις ἀσμένως ὑπομένειν,
ἑαυτοῦ καταφρονεῖν, καὶ τοῦ καταφρονεῖσθαι

ἐπιθυμιῶν· πᾶσαν ἀτυχίαν καὶ βλάβην 5.
πάσχειν, καὶ μηδεμίαν ἐπ' εὐτυχίαν ἐν
τούτῳ κόσμῳ ἐπιποθεῖν. εἰ ἐὰν σεαυτὸν
ἀπόβλεπες, μηδὲν τούτων ἐκ σεαυτοῦ
δυνήσῃ. εἰ ἰδὲ τῷ θεῷ πέποιθας, ἡ ἰσχὺς οὐρα-
νόθεν σοι δοθήσεται, καὶ ὁ κόσμος καὶ ἡ σάρξ
σοι ὑποταχθήσεται. ἀλλ' οὐδὲ τὸν ἐχθρὸν
τὸν διάβολον φοβηθήσῃ, ἐὰν τῇ πίστει
ὁπλισθῇς, καὶ τῷ τοῦ χριστοῦ σταυρῷ σημει-
ωθῇς.

---

1. Διόπερ προελοῦ, ὡς ἀγαθὸς καὶ πιστὸς δοῦλος τοῦ χριστοῦ, τὸν σταυρὸν τοῦ κυρίου σου ὑπὲρ σοῦ ἐξ ἀγάπης ἐσταυρωμένου ἀνδρείως βαστάζειν. παρασκεύασόν σε ἐπὶ τὸ φέρειν πολλὰ δεινὰ καὶ διάφορα δυστυχήματα ἐν τῷδε τῷ ταλαιπώρῳ βίῳ, ὅτι οὕτω μετὰ σοῦ αὐτὸς ἔσται, ὅπου ἂν ᾖς· καὶ οὕτω τῷ ὄντι αὐτὸν εὑρήσεις, ὅπου ἂν κρυβῇς. ἀναγκάιον εἶναι τοῦτο, καὶ οὐχ ὑπάρχει τρόπος τοῦ ἐκφυγεῖν τὴν θλῖψιν τῶν κακιῶν καὶ τὴν λύπην, πλὴν τοῦ παθεῖν. τὸ ποτήριον τοῦ κυρίου ἐπιθυμητικῶς ~~πι~~ πίνε, εἰ φίλος αὐτοῦ εἶναι, καὶ μέρος μετ' αὐτοῦ ἔχειν ἐθέλεις. τὰς παρακλήσεις τῷ θεῷ ἐπίτρεπε· διατιθείη ἂν αὐτὸς ταύτας κατὰ τὸ μᾶλλον ἀρέσκειν αὐτῷ.

 

σὺ δὲ ἕτοιμος γίνου ὑπομένειν τὰς θλί-
ψεις, καὶ νόμιζε αὐτὰς εἶναι μεγίστας πα-
ρακλήσεις, ὅτι οὐκ ἄξια τὰ παθήματα
τοῦ νῦν καιροῦ πρὸς τὸ μελλούσης δόξης
ἐπιτυχεῖν, καὶ μόνος πάντα ὑποδέχεσθαι
δυνηθῇς.

---

ια. Ἐὰν εἰς τοῦτο ἔλθῃς, ὥστε τὴν θλί-
ψιν, ἡδεῖαν, καὶ ὑπὲρ τοῦ Χριστοῦ εὐάρε-
στόν σοι εἶναι, τότε ἡγοῦ σε καλῶς ἔχειν,
ὅτι ἐπὶ τῆς γῆς τὸν παράδεισον εὗρες.
ἐφ' ὅσον τὸ παθεῖν σοι χαλεπὸν γίνε-
ται, καὶ ἐκφεύγειν ἐπιθυμεῖς, ἐπὶ το-
σοῦτον κακῶς ἕξεις, καὶ ἡ θλίψις, ἣν φεύ-
γεις πανταχοῦ σοι ἀκολουθήσει.

---

κ. ξ.

ιβ. Εἰ παρασκευάσῃς σε πρὸς ὃ δεῖ, πρὸς
τὸ παθεῖν δήπου, καὶ τὸ θανεῖν, ταχέως
βέλτιον ἕξεις, καὶ τὴν εἰρήνην εὑρήσεις.
εἰ καὶ σὺν ἁγίῳ Παύλῳ ἕως τοῦ τρίτου οὐρα-
νοῦ ἡρπάχθῃς, οὐ διὰ τοῦτο ἀσφαλὴς
εἶ, τοῦ μηδὲν δεινὸν ὑπομένειν. ἐγὼ
(λέγει ὁ Ἰησοῦς) ὑποδείξω αὐτῷ, ὅσα
δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου πα-
θεῖν. λοιπὸν οὖν σοι τὸ παθεῖν, εἰ τὸν Ἰη-
σοῦν ἀγαπᾶν, καὶ ἀϊδίως αὐτῷ δουλεύειν
ἐθέλεις.

---

βιβ. β. κεφ. ιβ. στιγμὴ ιγ. ἀρχ. πν. κ θλιψ. ζ

ιγ. Εἴθε ἄξιος ἦς παθεῖν τι ὑπὲρ τοῦ ὀνό-
ματος τοῦ Ἰησοῦ· πόση δόξα ἀπέκειτο σοι,
πόση ἀγαλλίασις πᾶσι τοῖς ἁγίοις τοῦ θεοῦ,
πόση οἰκοδομὴ τοῦ πλησίον ἐγένετο;
τὴν γὰρ ὑπομονὴν πάντες συνιστᾶσιν, εἰ
καὶ ὀλίγοι ὑπομένειν βούλονται. εἰκότως
ἂν ἔδει σε ἀσμένως παθεῖν μικρὸν ὑπὲρ
τοῦ Χριστοῦ, πολλῶν μείζω παθόντων ὑ-
πὲρ τοῦ κόσμου.

---

ιδ. Εὖ ἴσθι, ὅτι χρὴ θνήσκοντα σε βι-
ῶσαι, καὶ ὅσῳ μᾶλλόν τις ἑαυτῷ ἀποθνή-
σκει, τοσούτῳ πλέον τῷ θεῷ βιοῦν ἄρχεται.
οὐδεὶς εὔθετός ἐστιν εἰς τὸ καταλαμβάνεσθαι
τὰ οὐράνια εἰ μὴ ὁ ἑαυτὸν ὑποτάττων
εἰς τὸ τὰ δεινὰ φέρειν ὑπὲρ τοῦ Χριστοῦ.
μηδὲν τῷ θεῷ μᾶλλον πρόσδεκτον, μη-
δὲν σοι ἐν τῷδε τῷ κόσμῳ σωτηριωτέ-
ρον τοῦ ἀσμένως ὑπὲρ τοῦ Χριστοῦ παθεῖν.
καὶ εἰ ~~αι~~ αἱρετέον σοι, μᾶλλον ἂν εὔχεσθαι
ὤφειλες τὸ ὑπὲρ τοῦ Χριστοῦ τὰ δεινὰ πα-
θεῖν, ἀντὶ τοῦ πολλαῖς παραμυθίαις ἱλα-
ρεύεσθαι, ὅτι τῷ Χριστῷ ὁμοιότερος, καὶ πᾶ-
σι τοῖς ἁγίοις συμμορφότερος ἐγίνου.
οὐ γὰρ κεῖται ἡ ἀξία ἡμῶν, καὶ

ἡ ἐπίλογος τῆς καταστάσεως ἡμῶν ἐν
πολλαῖς ἡδύτησι καὶ παραμυθίαις, ἀλλὰ
μᾶλλον ἐν τῷ τὰς μεγάλας χαλε-
πότητας καὶ θλίψεις ὑπομένειν.

---

ιε. Εἴ τι βέλτιον καὶ χρησιμώτερον τῇ
σωτηρίᾳ τῶν ἀνθρώπων τοῦ παθεῖν εἴη,
ὁ Χριστὸς ἂν τῷ λόγῳ καὶ τῷ ὑποδείγμα-
τι ἐδήλωσε. τοὺς γὰρ αὐτῷ ἀκολουθοῦντας
μαθητὰς, καὶ πάντας αὐτῷ ἀκολουθεῖν ἐπι-
θυμοῦντας εἰς τὸ τὸν σταυρὸν βαστάζειν
σαφῶς προτρέπων λέγει· εἴ τις θέλει ὀπί-
σω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ
ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω
μοι. πάντων τούτων ἀναγνωσθέντων καὶ
διερευνηθέντων οὗτος ὁ τελευταῖος ἐπί-
λογος ἔστω· ὅτι διὰ πολλῶν θλίψεων
δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν
τοῦ θεοῦ.

ΤΕΛΟΣ.

Περὶ τοῦ ἔσω ὁμιλίας τοῦ Χριστοῦ τοῦ πρὸς τὴν πιστὴν ~~ψυχὴν~~ ψυχήν.

α. Ἀκούσομαι, τί λαλήσει ἐν ἐμοὶ ὁ κύριος ὁ θεός. μακαρία ἡ ψυχὴ ἡ τοῦ κυρίου ἐν αὐτῇ λαλοῦντος ἀκούουσα, καὶ ἀπὸ τοῦ στόματος αὐτοῦ τὸν παρακλητικὸν λόγον λαμβάνουσα. μακάρια τὰ ὦτα, τὰ μὲν τὰς φλέβας τοῦ θείου ψιθυρίσματος ἐκδεχόμενα, τοῖς δὲ τοῦ κόσμου τούτου ψιθυρίσμοις οὐ προσέχοντα. μακάρια δὴ τὰ ὦτα, τὰ οὐ τὴν φωνὴν ἔξω ἠχοῦσαν, ἀλλὰ τὴν ἀλήθειαν τὴν ἔσω διδάσκουσαν ἀκροώμενα. μακάριοι οἱ ὀφθαλμοί, οἱ τοῖς ἔξω κλεισθέντες, τοῖς δ' ἔσω προσέχουσιν. μακάριοι, οἱ τὰ ἔσω διερχόμενοι, καὶ πρὸς τὸ τὰ οὐράνια μυστήρια καταλαβέσθαι, ἑαυτοὺς ἐπιπλέον διὰ τῆς ἀσκήσεως καθημερινῆς ἑτοιμάζεσθαι σπουδάζοντες. μακάριοι οἱ τῷ θεῷ σχολάζειν ἐπιποθοῦντες, καὶ πάντων τῶν τοῦ κόσμου ἐμποδισμάτων ἑαυτοὺς ἀπαλλάττοντες.

β. Σκόπει ταῦτα ψυχή μου, καὶ κλεῖε

τὰς θύρας τῆς αἰσθητικῆς δυνάμεώς σου
ἵν' ἀκοῦσαι δυνηθῇς, τί ἂν ἐν σοὶ ὁ κύριος θε-
ός σου λαλήσῃ. ταῦτα λέγει ὁ ἀγαπητός
σου· σωτηρία σου εἰμὶ ἐγώ, ἥτε εἰρήνη σου, καὶ
ζωή σου· παράμενέ μοι, καὶ τὴν εἰρήνην
εὑρήσεις. ἄφες πάντα τὰ παραγόμενα,
ζήτησον τὰ αἰώνια. τί γάρ ἐστι πάντα πρόσ-
καιρα, εἰ μὴ ἀπατητικά; καὶ τί ὠφελοῦσι
σε πᾶσαι αἱ κτίσεις, ἐὰν ὑπὸ τοῦ κτίστου κα-
ταλειφθῇς; πᾶσιν οὖν ἀποταξαμένη τῷ
κτίστῃ σου εὐάρεστον καὶ πιστήν σε πάρεχε,
ἵνα τῆς ἀληθινῆς μακαριότητος τυχεῖν
δυνηθῇς

---

## Κεφ. β.

### Ὅτι ἡ ἀλήθεια ἔσω λαλεῖ, χωρὶς τοῦ δούπου τῶν ῥημάτων.

α. Λάλει κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου. δοῦ-
λός σου εἰμὶ ἐγώ· συνέτισόν με τοῦ γνῶναι
με τὰ μαρτύριά σου. κλῖνον τὴν καρδί-
αν μου εἰς τοὺς λόγους τοῦ στόματός σου·
ῥυέτω, ὡς δρόσος, τὰ ῥήματά σου. εἶπαν
πάλαι οἱ υἱοὶ τοῦ Ἰσραὴλ πρὸς Μωϋσῆν,
λάλησον σὺ ἡμῖν, καὶ ἀκούσομεν. μὴ λαλεί-
τω πρὸς ἡμᾶς ὁ κύριος, μήποτε ἀποθάνω-
μεν. οὐχ οὕτω κύριε, οὐχ οὕτως ἐγὼ δέομαί
σου, ἀλλὰ μετὰ τοῦ Σαμουὴλ προφήτου τα-
πεινῶς καὶ ἐπιθυμητικῶς ἀντιβολῶ.

βιβ. γ. κεφ. β. στιγμὴ α. αχπγ. κβ Μην. β.
λάλησον κύριε ὅτι ἀκούει ὁ δοῦλός σου.
μὴ λαλείτω ἐμοὶ Μωϋσῆς, ἢ ἄλλος
τῶν προφητῶν, ἀλλὰ σὺ μᾶλλον λάλη-
σον κύριε ὁ θεὸς ἐμπνευστὴς καὶ φωτιστὴς
πάντων τῶν προφητῶν, ὅτι σὺ μόνος χω-
ρὶς αὐτῶν τελείως παιδεύειν με δύνῃ,
αὐτοὶ δ' ἔξω σοῦ, μηδὲν ὠφελήσουσι.

β. Τὰ μὲν ῥήματα ἠχῆσαι δύνανται,
τὸ δὲ πνεῦμα οὐ παρέχουσι. κάλλιστα
λέγουσι, σοῦ δὲ σιγῶντος, τὴν καρδί-
αν οὐκ ἀνάπτουσι. παραδιδοῦσι τὰ γράμ-
ματα, ~~τον~~ τὸν δὲ νοῦν σὺ διανοίγεις. τὰ
μυστήρια διαγγέλλουσι, σὺ δὲ τὸ νόη-
μα ὑποτυπωθέντων διασαφεῖς. ἐκφέ-
ρουσι τὰ δόγματα, σὺ δὲ εἰς τὸ διατελεῖν
συλλαμβάνεις. τὴν ὁδὸν ἐπιδεικνύ-
ουσιν, εἰς δὲ τὸ πορεύεσθαι σὺ δὲ κρατύνεις.
αὐτοὶ μόνον ἔξω πράττουσι, σὺ δὲ τὰς
καρδίας παιδεύεις, καὶ διαφωτίζεις.
αὐτοὶ ἔξω ποτίζουσι, σὺ δὲ τὴν εὐχαριστίαν
δωρῇ. αὐτοὶ βοῶσι τοῖς ῥήμασι, σὺ δὲ
τὴν ἀκοὴν συνετίζεις

γ. Μὴ τοίνυν μοι λαλείτω ὁ Μωϋσῆς, ἀλ-
λὰ σὺ κύριε ὁ θεός μου, αἰώνιος ἀλήθεια,

μήποτε ἀποθάνω, καὶ ἄκαρπος γέ-
νωμαι, ἔξω μὲν παραινεθεὶς, ἔσωθε(ν)
οὐκ ἀναφθεὶς, ἵνα μὴ γένηταί μοι εἰς κρί-
μα ὁ λόγος ἀκουσθεὶς, ἀλλ' οὐ ποιηθεὶς·
γνωσθεὶς ἀλλ' οὐκ ἀγαπηθεὶς· πιστευθεὶς, ἀλ-
λ' οὐ διατηρηθεὶς. λάλει οὖν κύριε, ὅτι ἀκούει
δοῦλός σου· ῥήματα γὰρ ζωῆς αἰωνίου ἔχεις.
λάλει ἐμοὶ, εἰς μὲν ὁποιανοῦν παράκλη-
σιν τῆς ψυχῆς μου, καὶ εἰς ἐπανόρθωσιν ὅλου
τοῦ βίου μου, σοὶ δὲ εἰς αἶνον, δόξαν καὶ
τιμὴν αἰώνιον.

---

Κεφ. γ'.

Ὅτι διὰ τοὺς λόγους τοῦ θεοῦ ταπεινῶς
ἀκούειν, καὶ ὅτι πολλοὶ αὐτοὺς
οὐκ ἐξετάζουσιν.

α. Ἄκουσον τέκνον, τῶν λόγων μου, τῶν
λόγων ἡδίστων, τῶν πάσης ἐπιστήμης τῶν
φιλοσόφων καὶ σοφῶν τούτου κόσμου
ὑπερεχόντων. τὰ ῥήματά μου πνεῦμα
καὶ ζωή ἐστιν, ἅπερ οὐ δεῖ διὰ κατὰ τὴν
γνώμην τὴν ἀνθρωπίνην ἐξετάζειν, οὐδ'
εἰς τὴν ματαίαν εὐαρέστησιν ἐφέλκειν,
ἀλλὰ σιγῇ ἀκούειν, καὶ μετὰ πάσης ταπει-
νότητος, καὶ μεγάλης ἐπιποθήσεως ὑποδέ-
χεσθαι. καὶ εἶπα, μακάριος ἀνὴρ, ὃν ἂν
σὺ παιδεύσῃς κύριε, καὶ ἐκ τοῦ νόμου σου
διδάξῃς αὐτόν· τοῦ πραῦναι αὐτὸν

βιβ. γ. κεφ. β. στιχ. ά. ἀχπγ. χρ... β.

ἀφ᾽ ἡμερῶν πονηρῶν, καὶ μὴ ἐρημωθῆναι ἐπὶ τῆς γῆς. ἐγώ, φησὶν ὁ κύριος, ἀπαρχῆς τοὺς προφήτας ἐδίδαξα, καὶ μέχρι τοῦ νῦν οὐ λήγω λαλῶν πᾶσιν· πολλοὶ δ᾽ εἰς τὴν φωνήν μου κωφοὶ καὶ σκληροὶ τυγχάνουσι.

---

β. Πλείους μὲν τοῦ κόσμου ἀσμενέστερον ἢ τοῦ θεοῦ ἀκούουσι· ῥᾷον δὲ τὴν σαρκὸς ἐπιθυμίαν, ἢ τὴν τοῦ θεοῦ εὐδοκίαν διώκουσιν. ἐπαγγέλλεται ὁ κόσμος τὰ πρόσκαιρα καὶ μικρά, καὶ προθυμότατον αὐτῷ δουλεύουσιν. ἐγὼ δὲ τὰ μέγιστα καὶ αἰώνια ἐπαγγέλλομαι, καὶ αἱ τῶν ἀνθρώπων καρδίαι ὀκνοῦσι. τίς οὕτως ἐπιμελῶς ἐν πᾶσι δουλεύει μοι, καὶ ὑπακούει, ὡς τῷ κόσμῳ καὶ τοῖς αὐτοῦ κυρίοις δουλεύουσιν; αἰσχύνθητι Σιδών, εἶπεν ἡ θάλασσα, καὶ εἰ τὴν αἰτίαν ζητεῖς ἄκουσον αὐτῆς. ὑπὲρ μικρᾶς προσόδου μακρὰν ὁδὸν διατρέχουσιν· ἀντὶ δὲ τῆς ζωῆς αἰωνίου πολλοὶ σχεδὸν ἅπαξ τὸν πόδα ἀπὸ τῆς γῆς αἴρουσιν. εὐτελὲς κέρδος ζητοῦσι· περὶ ἑνὸς ὀβολοῦ ποτε αἰσχρῶς ἐρίζουσιν· ὑπὲρ κενοῦ πράγματος καὶ μικρᾶς ὑποσχέσεως, νυκτὸς καὶ ἡμέρας ἀποκάμνειν οὐκ ὀκνοῦσιν.

γ. Ἀλλ' αἱ αἱ, ὑπὲρ τοῦ ἀμεταβλήτου
ἀγαθοῦ, ὑπὲρ τοῦ ἄθλου ἀτιμήτου, ὑπὲρ
τῆς μεγίστης τιμῆς, καὶ ἀπεράντου δόξ-
ης, καὶ πρὸς ὀλίγον ἐνοχλούμενοι ῥαθυ-
μοῦσιν. αἰσχύνθητι οὖν δοῦλε ἀργὲ καὶ μεμ-
ψίμοιρε, ἐν τῷ αὐτοὺς ἑτοιμοτέρους
εὑρεθῆναι εἰς τὴν ἀπώλειαν, ἢ σὲ εἰς
τὴν ζωήν. τῇ ματαιότητι αὐτοὶ μᾶλ-
λον χαίρουσιν, ἢ σὺ τῇ ἀληθείᾳ.
καὶ τῆς μὲν ἐλπίδος αὐτῶν ποτε ἀποτυγ-
χάνουσι· τὸ ἐπάγγελμά μου μηδένα
σφάλλει. οὐδὲ τὸν πεποιθότα μοι ἐξα-
ποστέλλει κενόν. ὅπερ ἐπηγγειλάμην,
δώσω. ὅπερ ἔλεξα, πληρώσω, ἐάν τις
ἕως τοῦ τέλους ἐν τῇ ἀγάπῃ μου πιστὸς
μενεῖ. ἐγὼ μισθαποδότης γίνομαι πάν-
των ἀγαθῶν, καὶ ἰσχυρὸς δοκιμαστὴς
πάντων εὐλαβῶν.

---

κγ. γ.

δ. Γράψον τὰ ῥήματά μου ἐν τῇ καρ-
δίᾳ σου, καὶ ἐπιμελῶς αὐτὰ σκόπησον.
ἐν τῷ γὰρ καιρῷ τοῦ πειρασμοῦ ἀναγκαι-
ότατα σοὶ ἔσει. ὅτι οὐ κατανοεῖς ἀναγι-
νώσκων, γνώσῃ ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς.
διπλαχῶς τοὺς ἐκλεκτούς μου ἐπισκοπεῖν εἴω-
θα, τῷ πειρασμῷ δήπου, καὶ τῇ παρακλή-

·βιβ. γ. κεφ. γ. στιγμὴ δ. αχπγ. χγ [illegible] γ.
σει. προσέτι δύο ἀναγνώσεις αὐτοῖς καθ' ἑκάστην ἐξηγήσομαι, τὴν μέν, ταῖς κακίαις αὐτῶν ἐπιτιμῶν, τὴν δ', εἰς τὴν τῶν ἀρετῶν αὔξησιν προτρέπων. ὁ ἔχων τοὺς λόγους μου, καὶ καταφρονῶν αὐτῶν, ἔχει τὸν κρίνοντα αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

---

## Εὐχὴ εἰς τὸ αἰτῆσαι τὴν τῆς εὐσεβείας χάριν.

α. Κύριε ὁ θεός μου, πάντα τὰ ἀγαθά μου σὺ εἶ. καὶ τίς ἐγώ, ὃς ἂν πρὸς σὲ λαλῆσαι τολμήσω; ἐγώ εἰμι πενέστατον δουλάριόν σου, καὶ καταβεβλημένον σκωλήκιον. πολλῷ πενέστερος, καὶ μᾶλλον καταφρόνητος ὑπάρχων, ἢ γινώσκω καὶ θαρρῶ εἰπεῖν. ἀλλ' ὅμως, κύριε, μνήσθητι, ὅτι μηδὲν ἐγώ εἰμι, μηδὲν ἔχω, καὶ μηδὲν ἰσχύω. σὺ μόνος ἀγαθὸς, δίκαιος καὶ ἅγιος. σὺ πάντα δύνῃ, σὺ πάντα παρέχεις, πάντα πληροῖς, τὸν ἁμαρτωλὸν μόνον κενὸν καταλείπων. μνήσθητι τῶν οἰκτιρμῶν σου, καὶ γέμισον τὴν καρδίαν μου τῆς χάριτός σου, ὁ μὴ βουλόμενος τὰ ἔργα σου εἶναι κενά.

β. Πῶς ἂν ἐν τῷδε τῷ ταλαιπώρῳ
βίῳ ἀνέχεσθαι μου δυνηθῶ, τῷ ἐλέει καὶ
τῇ χάριτί σου μὴ κραταιωθείς; μὴ ἀ-
πόστρεψον τὸ πρόσωπόν σου ἀπὸ ἐμοῦ·
μὴ μάκρυνον τὴν ἐπισκοπήν σου, μὴ
ἆρον τῆς παρακλήσεώς σου, τοῦ μὴ ὡς γῆ
ἄνυδρος γενέσθαι σοι, τὴν ψυχήν μου.
κύριε δίδαξόν με τοῦ ποιεῖν τὸ θέ-
λημά σου· δίδαξόν με τοῦ ἐνώπιον
σου ἀξίως καὶ ταπεινῶς περιπατεῖν, ὅτι
ἡ σοφία μου σὺ γίνῃ, ὃς ἐπ' ἀληθείας με
γινώσκεις, καὶ ἔγνως πρὸ τοῦ γενέσθαι
τὸν κόσμον, καὶ πρὸ τοῦ ἐμὲ γεννηθῆ-
ναι ἐν τῷ κόσμῳ.

---

## Κεφ. δ.

### Ὅτι ἐν ἀληθείᾳ καὶ ταπεινότητι χρὴ τῷ θεῷ πλησιάζειν.

α. Τέκνον, περιπάτει ἐνώπιόν μου ἐν
ἀληθείᾳ, καὶ ἐν ἁπλότητι τῆς καρδίας σου
ἀεὶ ζήτει με. ὁ περιπατῶν ἐνώπιόν μου
ἐν ἀληθείᾳ, σκεπασθήσεται ἀπὸ πολλῶν
συμπτωμάτων, καὶ ἡ ἀλήθεια ἐλευθε-
ρώσει αὐτὸν ἀ|χη. δ.|πὸ πλάνων καὶ
καταλαλιῶν τῶν ἀδίκων. εἰ ἀλήθεια ἐ-
λευθερώσει σε, ὄντως ἐλεύθερος ἔσῃ, καὶ
οὐ μελήσει σοι τῆς ματαιολογίας τῶν ἀν-
θρώπων. κύριε ἀληθές ἐστιν, ὥσπερ

βιβ. γ. κεφ. δ. στιγμὴ α. αχπγ. κεφ. Μυν. δ.

εἴπες, οὕτω, δέσποτά μου, γένοιτό μοι. ἡ ἀλήθειά σου διδάξαι με, αὐτὴ φυλάξαι με, καὶ ἕως τοῦ σωτηρίου τέλους διασώσαι. αὐτὴ λύσαιτό με ἀπὸ παντὸς πάθους κακοῦ, καὶ ἀτάκτου ἀγαπήσεως· καὶ περιπατήσω μετά σου ἐν μεγάλῃ ἐλευθερίᾳ τῆς καρδίας.

β. Ἐγὼ διδάξω σε φησὶν ἡ ἀλήθεια, τὰ ἔνθεα καὶ ἀρεστὰ ἔμπροσθέν μου. ἐννόει τὰς ἁμαρτίας σου σὺν μεγάλῃ δυσαρεστήσει, καὶ λύπῃ· καὶ μήποτε διὰ τἀγαθὰ ἔργα δόξῃς σοι εἶναί τι, ἀληθῶς ἁμαρτωλὸς εἶ, καὶ πολλοῖς πάθεσιν ἔνοχος καὶ ἐμπλεχθείς. ἐκ σεαυτοῦ ἀεὶ εἰς μηδὲν τείνεις, καὶ ταχέως ὀλισθαίνεις, ταχέως νικᾷ, ταχέως ταράττῃ, ταχέως ἐκλύῃ. οὐκ ἔχεις τι, ἐφ' ᾧ ἂν καυχᾶσθαι οἷός τ' ἦς, ἀλλὰ πολλὰ δι' ἅπερ ἂν ἐξουθενήσῃς σε, ὅτι πολλῷ ἀσθενέστερος εἶ, τοῦ δυνηθῆναί σε καταλαμβάνεσθαι.

γ. Μηδὲν οὖν ἁπάντων, ὧν πράττεις, περὶ πολλοῦ ποιητέον σοι δοκείτω. μηδὲν μέγα, μηδὲν τίμιον καὶ θαυμάσιον, μη-

δεῖν ἔνδοξον φαίνεσθαι· μηδὲν ὑψη-
λὸν, μηδὲν ὄντως ἐπαινετὸν, καὶ ποθεινὸν,
εἰ μὴ τὸ αἰώνιον γινόμενον. ἀρεσκέτω
σοι ἀεὶ ὑπὲρ πάντα ἡ αἰώνιος ἀλήθεια·
ἀπαρεσκέτω δέ σοι ἀεὶ ἡ μεγίστη εὐτέ-
λειά σου, μηδὲν οὕτω φοβοῦ οὕτως ἐπι-
τίμα καὶ φεῦγε ὥσπερ τὰς κακίας καὶ
ἁμαρτίας σου· ἃς μᾶλλον πασῶν συμ-
φορῶν δεῖ σοι ἀπαρέσκειν. οὐχ εἰλικρι-
νῶς τινες ἐνώπιόν μου περιπατοῦσιν, ἀλλὰ
περιεργίᾳ καὶ ἀλαζονείᾳ ὑπαχθέντες
τὰ ἀπόῤῥητά μου γνῶναι καὶ τὰ ὑψηλὰ
τοῦ θεοῦ συνιέναι ἐθέλουσιν ἑαυτῶν καὶ
τῆς ἰδίας σωτηρίας ἀμελοῦντες. οὗτοι
μεγάλοις πειρασμοῖς καὶ ἁμαρτήμασι
διὰ τὴν ὑπερηφανίαν καὶ πολυπραγμοσύ-
νην αὐτῶν ἐμοῦ αὐτοῖς ἐναντιουμένου, πολ-
λάκις περιπίπτουσι.

---

δ. τὰ τοῦ θεοῦ κρίματα φοβοῦ, καὶ τὴν ὀργὴν τοῦ
παντοκράτορος ἐκπλήττου. μὴ ἐξέταζε τὰ
τοῦ ὑψίστου ἔργα, ἀλλὰ τὰς ἀνομίας σου ἐξε-
ρεύνα, ἐν ὅσαις ἐξημάρτες, καὶ ὡς πολλῶν
~~ἀγαθ~~ ἀγαθῶν ἠμέλησας. οἱ μὲν τὴν εὐ-
σέβειαν αὐτῶν βαστάζουσι μόνον ἐν τοῖς βι-
βλίοις, οἱ δ' ἐν ταῖς εἰκόσιν, ἕτεροι δ' ἐν τοῖς
ἔξω σημείοις καὶ τύποις. ἄλλοι ἐν τῷ στόμα-
τί με ἔχουσι, μικρὸν δὲ ἐν τῇ καρδίᾳ.
εἰσί τινες οἱ τῷ νῷ διαφωτισθέντες,

βιβ. γ. κεφ. δ. στιχ. δ. α. χ. π. γ. κεφ. δ. δ.
καὶ τῇ μαθέσει καθαρισθέντες τὰ αἰώνια
ἀεὶ ἐπιποθοῦσι· τῶν ἐπιγείων δυσχε-
ρῶς ἀκούουσι, ταῖς τῆς φύσεως ἀνάγκαις
ὀδυνώμενοι δουλεύουσιν. οὗτοι δὲ γι-
νώσκουσι τί τὸ τῆς ἀληθείας πνεῦμα
ἐν αὐτοῖς λαλεῖ. ὅτι αὐτοὺς διδάσκει τῶν
ἐπιγείων καταφρονεῖν, καὶ τὰ ἐπουράνια
ἀγαπᾶν, τοῦ κόσμου ἀφροντίζειν, νυκτός
τε καὶ ἡμέρας τοῦ οὐρανοῦ ἐπιθυμεῖν.

---

## Κεφ. ε.

## Περὶ τοῦ θαυμαστοῦ ἐνεργήματος τῆς θείας ἀγάπης.

α. **Ε**ὐλογῶ σε πάτερ οὐράνιε, πάτερ τοῦ
κυρίου μου Ἰησοῦ χριστοῦ, ὅτι ἐμοῦ πτωχοῦ
ἠξίωσας μνησθῆναι. ὦ πάτερ τῶν οἰκ-
τιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως,
εὐχαριστῶ σοι ὃς ἐμὲ πάσης παρακλή-
σεως ἀνάξιον ἐνίοτε ἀναπαύεις παρα-
κλήσει σου. εὐλογῶ σε ἀεὶ καὶ δοξάζω σε
~~ἀεὶ καὶ δοξάζω~~ σὺν τῷ μονογενεῖ υἱῷ σου,
καὶ τῷ ἁγίῳ πνεύματι τῷ παρακλήτῳ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἶα κύ-
ριε ὁ θεός, ἅγιε φιλητά μου, σοῦ ἐρχο-
μένου εἰς τὴν καρδίαν μου ἀγαλλι-
άσεται πάντα τὰ ἐντός μου. σὺ εἶ
δόξα μου, καὶ ἀγαλλίασις τῆς καρδίας
μου. σὺ ἐλπίς μου, καὶ καταφυγή μου ἐν

βιβ. γ'. κεφ. ε'. στιγμὴ α. ἀ. γ. πυ. κεφαλ. ε. 97

ἡμέρᾳ τῆς θλίψεώς μου.

β. Ἀλλ' ὅτι ἔτι ἐν τῇ ἀγάπῃ ἀσθενής, καὶ ἐν τῇ ἀρετῇ ἀτελὴς ὑπάρχω, διὰ τοῦτο δέομαι ὑπὸ σοῦ κρατυνθῆναι καὶ παρακληθῆναι· διόπερ ἐπίσκεψαί με πλεονάκις καὶ παίδευσόν με ταῖς ἁγίαις παιδείαις. ῥῦσαί με ἀπὸ τῶν παθῶν κακῶν, καὶ ἴασαι τὴν καρδίαν μου ἀπὸ παθῶν ἀτάκτων διαθέσεων, ὅπως ἔσω θεραπευθεὶς, καὶ καλῶς καθαρισθεὶς, ἐπιτήδειος εἰς τὸ ἀγαπᾶν, ἰσχυρὸς εἰς τὸ ὑπομένειν, καὶ βέβαιος εἰς τὸ διαμένειν γένωμαι.

---

κ'ς'. ς.

γ. Μέγα τι ἡ ἀγάπη ἐστι, μέγα δι' ἀγαθόν· ὃ μόνον πᾶν φορτικὸν κουφίζει, καὶ πᾶν ἀνώμαλον ὁμαλῶς φέρει· τὸ γὰρ φορτίον ἄνευ φορτίου βαστάζει, καὶ πᾶν πικρὸν γλυκὺ καὶ εὔγευστον κατεργάζεται. ἡ τοῦ Ἰησοῦ ἀγάπη εὐγενής, ἐπὶ τὸ μεγάλα πράττειν παρορμᾷ καὶ εἰς τὸ τελειότερα ἀεὶ ποθῆσαι ἐπεγείρει. ἡ ἀγάπη εἰς τὰ ἄνω τείνει, οὐδὲ οὐδενὶ τῶν κατωτάτων κατέχεσθαι ἐθέλει. ἡ ἀγάπη ἐλευθέρα, καὶ πάσης κοσμικῆς διαθέσεως ἀλλοτρία εἶναι βούλεται, τοῦ μὴ τὴν ἔσω ὄψιν αὐτῆς ἐμποδισθῆναι

βιβ. γ. κεφ. ε. στιγμὴ γ. ἀρχ. τ. κϛ. λέγ.
μηδὲ δι' εὐχείρημά τι πρόσκαιρον ἐπι-
πλοκὰς παθῶν, ἢ διὰ δυσχείρημα ἡτ-
τηθῆναι. μηδὲν ἐστὶ τῆς ἀγάπης ἡδύτε-
ρον, μηδὲν ἰσχυρότερον, μηδὲν ὑψηλό-
τερον, μηδὲν εὐρύτερον, μηδὲν τερ-
πνότερον, μηδὲν μεστότερον, μηδὲν
δὲ ἐν τοῖς οὐρανοῖς, οὐδὲ ἐν τῇ γῇ βέλ-
τιον· ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐγεννήθη,
καὶ μόνον ἐν τῷ θεῷ ὑπὲρ πάντα κτι-
σθέντα, ἀναπαύεσθαι δύναται.

---

δ. Ὁ ἀγαπῶν πέταται, τρέχει, καὶ χαίρει·
καὶ ἐλεύθερος τυγχάνων οὐ κρατεῖται.
πάντα ἀντὶ πάντων δίδωσι, καὶ πάντα ἐν
πᾶσιν ἔχει, ὅτι ἐν ἑνὶ μεγίστῳ ὑπὲρ πάν-
τα ἡσυχάζει, ἐξ οὗ πᾶν ἀγαθὸν χέει καὶ
ἐκπορεύεται. οὐ βλέπει εἰς τὰ δῶρα ἀλλ'
εἰς τὸν δωρούμενον ὑπὲρ πάντα ἀγαθὰ
ἐπιστρέφεται. ἡ ἀγάπη τὸ μέτρον πολλά-
κις ἀγνοεῖ, ἀλλ' ὑπὲρ πᾶν μέτρον ζέει.
ἡ ἀγάπη τοῦ φορτίου οὐκ αἰσθάνεται, τοὺς
πόνους οὐ λογίζεται· πλέω τοῦ δύνασθαι
ἐπιποθεῖ· τῇ τῆς ἀδυναμίας προφάσει
οὐ χρῆται, ὅτι πάντα δυνατὰ αὐτῇ εἶναι
νομίζει. ἰσχύει τοίνυν εἰς πάντα, καὶ πολ-
λὰ πληροῖ, καὶ διαπράττεται, τοῦ μὴ ἀγα-

πῶντος, ἀπολαύοντος καὶ ἀθυμοῦντος. 

ε. Η ἀγάπη ἐγρηγορεῖ, καὶ καθεύδουσα οὐ νυστάζει. κάμνουσα οὐ καταπονεῖται· θλιβομένη οὐ στενοχωρεῖται· ἐκφοβουμένη οὐ διαταράττεται, ἀλλ' ὥσπερ ζωηρὰ φλὸξ καὶ καιόμενον δαδίον ἄνω ἀναῤῥήγνυται, καὶ ἀσφαλῶς διέρχεται. εἴτις ἀγαπᾷ με, γινώσκει, τί ἂν αὕτη βοὴ βοᾷ. μεγάλη φωνὴ ἐν τοῖς τοῦ θεοῦ ὠσίν ἐστιν, αὐτὴ ἡ καιομένη διάθεσις τῆς ψυχῆς, ἥπερ λέγει· ὁ θεός μου, ἡ ἀγάπη μου· σὺ ὅλος ἐμοί, κἀγὼ ὅλος σός.

ϛ. Πλάτυνόν με ἐν τῇ ἀγάπῃ, ἵνα μάθω τῷ ἔσω στόματι γεύσασθαι, ὡς γλυκύ ἐστιν ἀγαπᾶν, καὶ ἐν τῇ ἀγάπῃ διατήκεσθαι καὶ νήχεσθαι. τῇ ἀγάπῃ κατέχωμαι βαδίζων ὑπὲρ ἐμὲ ὑπὸ τῆς ἄγαν ζέσεως καὶ ἐκστάσεως. ᾄδω τὸ τῆς ἀγάπης ᾆσμα, ἀκολουθῶ σοι τῷ ἀγαπητῷ μου εἰς τὰ ἄνω, ἐκλείπῃ ἡ ψυχή μου εἰς τὸν αἶνόν σου ἀλαλάζουσα ὑπὸ τῆς ἀγάπης. ἀγαπῶ σε μᾶλλον ἐμοῦ· οὐδ' ἐμέ, εἰ μὴ διὰ σέ, καὶ ἐν σοὶ πάντας τοὺς ἀληθῶς ἀγαπῶντάς σε, καθὼς ὁ νόμος τῆς ἀγάπης ὁ ἐκ σοῦ ἐκλάμπων, κελεύει.

ζ. Η ἀγάπη ἐστὶν ὠκεῖα, εἰλικρινής, εὔσπλαγχνος, ἡδεῖα καὶ εὔθυμος· ἰσχυρά,

βιβ: γ. κεφ: ε. στιγμὴ ζ. α. κπγ. κζ. Πλην. ζ.

ἀνεξίκακος, πιστὴ, φρόνιμος, μακρόθυ-
μος, ἀνδρειώδης, καὶ ἑαυτὴν μηδέποτε
ζητοῦσα. ὅπου γὰρ ἑαυτόν τις ζητεῖ, τῆς
ἀγάπης ἐκπίπτει. ἡ ἀγάπη ἐστὶ περιεσκεμ-
μένη, ταπεινὴ, καὶ εὐθεῖα· οὐ μαλακὴ,
οὐκ ἐλαφρὰ, οὐδὲ ματαιόσπουδος· νηφάλιος,
ἁγνὴ, εὐσταθὴς, ἥσυχος, καὶ ἐν πάσαις αἰσθή-
σεσι πεφυλαγμένη. ἡ ἀγάπη τοῖς προ-
εστῶσιν ὑποτάττεται καὶ πειθαρχεῖ, ἑαυ-
τῇ εὐτελὴς καὶ εὐκαταφρόνητος οὖσα, πρὸς
τὸν θεὸν εὐσεβὴς καὶ εὐχάριστος ἔχουσα,
ἀεὶ ἐπ' αὐτὸν πεποιθυῖα, καὶ ἐλπίζουσα
καὶ ὅτε (ταύτῃ) ὁ θεὸς οὐ γλυκένεται· ὅτι ὁ ἀγαπῶν
ἀλύπως οὐ διάγει.

---

η. Ὁ οὐχ ἕτοιμος ὢν πάντα παθεῖν, καὶ
τῷ τοῦ ἀγαπητοῦ θελήματι ἀρέσκεσθαι,
τοῦ ὀνομασθῆναι ἀγαπητὸν ἀνάξιός ἐστι.
δεῖ τὸν ἀγαπῶντα, πάντα τὰ δεινὰ καὶ
πικρὰ διὰ τὸν ἀγαπητὸν ἡδέως ἀσπά-
ζεσθαι, οὐδὲ διὰ τἀναντία συμβεβηκό-
τα ἀπ' αὐτοῦ ἐκκλίνειν.

---

Κεφ. ϛ.

Περὶ τῆς τοῦ ἀληθοῦς φίλτρου δοκιμασί-
ας.

α. Τέκνον οὔπω ἰσχυρὸς καὶ φρόνιμος
φιλητὴς εἶ. διὰ τί κύριε; ὅτι διὰ μικρὰν
ἐναντιότητα τὰ κατασχεθέντα ἐκλεί-

πεις, καὶ ἄγαν ἐπιθυμητικῶς, τὴν παράκλησιν ζητεῖς, ὁ ἰσχυρὸς φιλητὴς ἐν τοῖς πειρασμοῖς ἵσταται, καὶ ταῖς τοῦ ἐχθροῦ πείσεσι δολεραῖς οὐ πιστεύει. ὥσπερ αὐτῷ, εὐτυχοῦντι ἀρέσκω, οὕτω δυστυχοῦντι οὐκ ἀπαρέσκω.

β. Ὁ φρόνιμος φιλητὴς, τὴν τοῦ διδόντος ἀγάπην μᾶλλον, ἢ τὸ τοῦ ἀγαπῶντος δῶρον λογίζεται. τὴν διάθεσιν μᾶλλον, ἢ τὸ τίμημα σκοπεῖ, καὶ πάντα δωρήματα περὶ ἐλάττονος ποιεῖται τοῦ ἀγαπητοῦ. ὁ εὐγενὴς φιλητὴς οὐχ ἡσυχάζει ἐν τῷ δώρῳ, ἀλλ' ἐν ἐμοὶ ὑπὲρ πᾶν δῶρον. οὐ διὰ τοῦτο ἀπώλολεν ὅτι ποτὲ περὶ ἐμοῦ, ἢ περὶ τῶν ἁγίων μου ἧττον καλῶς, ἢ ἂν ἐβούλου, γινώσκεις. ἐκείνη ἡ ἀγαθὴ καὶ ἡδεῖα διάθεσις, ἥσπερ ἐνίοτε γεύῃ τῆς παραγινομένης χάριτος ἐνέργημά ἐστι, καὶ πρόγευσίς τις τῆς οὐρανίου πατρίδος, ἥτινι οὐ δεῖ ἄγαν ἰσχυρίζεσθαι, ὅτι ὑπάγει καὶ ἔρχεται. πρὸς δὲ τὰ κακὰ πάθη τῆς ψυχῆς τὰ ἐμπίπτοντα ἀγωνίζεσθαι, καὶ τὴν τοῦ διαβόλου ἐμπνεύσεως καταφρονεῖν, τῆς ἀρετῆς καὶ μεγάλης ἀξίας σημεῖόν ἐστι.

γ. Διόπερ αἱ ἀλλότριαι φαντασίαι περὶ ὁποιασοῦν ὑποθέσεως ὑποβληθεῖσαι, μή σε

βιβ: γ΄. κεφ: ϛ΄. στιγμὴ γ΄. αχπγ: κζ Μην. ϛ.

διαταραττέτωσαν. τὴν ἰσχυρὰν πρόθεσιν καὶ τὴν εὐθεῖαν προαίρεσιν πρὸς τὸν θεὸν διαφύλαττε, οὐκ ἔστιν ἐμπαιγμὸς τὸ αἰφνιδίως ποτὲ ἐπαρθέντα σε ὑψόσε, εὐθέως εἰς τὰς εἰωθυίας φλυαρίας τῆς καρδίας ἐπανελθεῖν. αὐτὰς μᾶλλον ἄκοντι πάσχεις, ἢ ἐργάζῃ· καὶ ἐφ' ὅσον ἀπαρέσκουσι, καὶ σὺ ἀντιτάττῃ, ἀξία ἐστίν, ἀλλ' οὐκ ἀπώλεια.

---

δ΄. Γίνωσκε, ὅτι ὁ πάλαι ἐχθρὸς διόλου ἐπιχειρεῖ τὴν ἐπιθυμίαν σου ἐν καλῷ ἔργῳ ἐμποδίζειν, καὶ πάσης εὐσεβοῦς ἀσκήσεως ἀποστερεῖν. τῆς δήπου σεβάσεως τῶν ἁγίων, τῆς εὐλαβοῦς μνήμης τοῦ πάθους μου, τῆς ὠφελοῦς ἀναμνήσεως τῶν ἁμαρτιῶν, τῆς φυλακῆς τῆς ἰδίας καρδίας, καὶ τῆς βεβαίας προαιρέσεως τοῦ ἐπιδοῦναι πρὸς ἀρετήν. πολλοὺς κακοὺς διαλογισμοὺς ὑποβάλλει, τοῦ ἀηδίαν καὶ φρίκην σοι ἐμποιεῖν· τοῦ τῆς προσευχῆς καὶ τῆς ἁγίας ἀναγνώσεώς σε ἀποτρέπειν. ἀπαρέσκει αὐτῷ ἡ ταπεινὴ ὁμολόγησις, καὶ εἰ δύναιτο, τῆς κοινωνίας ἂν σε ἀναπαύηται. μὴ πίστευε αὐτῷ, μηδὲ λόγον αὐτοῦ ἔχε, εἰ καὶ πλεονάκις τὴν παγίδα τῆς ἀπάτης σοι θήσεται, εἰς αὐτὸν τρέπε, ὅταν τὰ κακὰ καὶ ἀκάθαρτα ὑπο-

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg
MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

ςα

βάλλῃ. λέγε αὐτῷ· ἄπαγε ἀκάθαρτον
πνεῦμα, αἰσχύνου σχέτλιον, βδέλυγμα
ἀκάθαρτον εἶ, τοιαῦτα τοῖς ὠσί μου ἐπι-
ψιθυρίζον. πορεύου ἀπ' ἐμοῦ, πλάνε κάκι-
στε, οὐκ ἔχεις μέρος τι ἐν ἐμοί· ἀλλ' ὁ Ἰη-
σοῦς μετ' ἐμοῦ ἐστι, ὡς μαχητὴς ἰσχύων,
καὶ σὺ στήσῃ καταισχυνθείς. πολλῷ μᾶλλον
αἱροῦμαι τεθνάναι, καὶ πᾶσαν τιμωρίαν
ἀναδέχεσθαι, ἢ συνεδροχεῖν σοι. σιώπα καὶ
πεφίμωσο, οὐκ ἔτι ἀκούσω σου, καίπερ πλε-
ονάκις ἐνοχλοῦντός μου. κύριος φωτισμός
μου, καὶ σωτηρία μου, τίνα φοβηθήσομαι;
ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή,
οὐ φοβηθήσεται ἡ καρδία μου. κύριος βο-
ηθός μου καὶ λυτρωτής μου.

---

ε. Ἀγωνίζου ὡς καλὸς στρατιώτης, καὶ εἴπο-
τε τῇ ἀσθενείᾳ τῆς σαρκὸς καταπίπτεις,
ἀνάλαβε τὴν δύναμιν μείζω τῆς προ-
τέρας, τῇ εὐπορωτέρᾳ χάριτί σου πε-
ποιθώς, καὶ τὴν ματαίαν αὐθάδειαν, καὶ
τὴν ὑπερηφανίαν πολὺ φυλάττου. διὰ
ταῦτα πολλοὶ πλανῶνται, καὶ εἰς τυ-
φλότητα τὴν χεῖρον ἀνίατον ποτὲ πε-
ριπίπτουσιν. γενέσθω σοι εἰς προφυλα-
λακὴν καὶ αἰώνιον ταπεινότητα αὕτη
ἡ πτῶσις τῶν ὑπερηφάνων, τῶν πε-
ρὶ ἑαυτῶν ματαίως προλαμβανόν-
των.

## Περὶ τοῦ ἀποκρύπτειν τὴν χάριν ὑπὸ τῇ τῆς ταπεινότητος φυλακῇ.

Τέκνον, χρησιμώτερόν καὶ ἀσφαλέστερόν σοί ἐστι, τὴν τῆς εὐσεβείας χάριν ἀποκρύπτειν, καὶ οὐχ ὑψόσε ἐπαίρεσθαι, οὐδὲ πολὺ περὶ αὐτῆς λαλεῖν, οὐδὲ πολὺ σταθμᾶσθαι, ἀλλὰ μᾶλλον σεαυτοῦ καταφρονεῖν καὶ φοβεῖσθαι, μὴ τῷ ἀναξίῳ δοθῇ. οὐ δεῖ ταύτῃ τῇ διαθέσει ἰσχυρογνωμονέστερον προσκολληθῆναι, ἥτις τάχιον εἰς τὴν ἐναντίον μεταβάλλεσθαι πέφυκε. τῆς χάριτος ἐπιτυχὼν ἐνθυμοῦ ὡς ταλαίπωρος, καὶ ἐνδεὴς εἶναι εἴωθας τῆς χάριτος ἀπορῶν. ἡ τῆς πνευματικῆς ζωῆς ἐπίδοσις, οὐ μόνον ἐν τῷ ἔχειν τὴν τῆς παραμυθίας χάριν κεῖται, ἀλλ' ἐν τῷ ταπεινῶς, ἀπαρνητικῶς καὶ ἀνεξικάκως φέρειν τὴν ὑφαίρεσιν αὐτῆς. οὕτως ὡς τότε τὴν τῆς προσευχῆς σπουδὴν μὴ ὀκνῇς, μηδὲ τἄλλα συνήθη ἔργα πάντως ἀνιῇς· ἀλλ' ὡς ἂν βέλτιον δυνηθῇς καὶ νοήσῃς κατὰ τὸ σὸν μέρος, ποιῇς, καὶ μηδὲ διὰ τὴν ἀηδίαν ἢ ἀδημονίαν, ἧς αἰσθάνῃ παντελῶς σοῦ ἀμελῇς.

β. Πολλοὶ γάρ εἰσιν, οἵτινες τῶν πρα-

γμάτων ἀτυχῶς αὐτοῖς συμβαινόντων
εὐθέως ἀτλητοῦσιν ἢ ῥαθυμοῦσιν. οὐ γὰρ
ἀεὶ ἡ τῶν ἀνθρώπων βουλὴ ἐν ἐξουσίᾳ αὐ-
τοῦ ἐστιν, ἀλλὰ τοῦ Θεοῦ ἐστι διδόναι, καὶ
παραμυθείας ὅτε θέλει, καὶ ὅσον θέλει, καὶ
ᾧτινι θέλει, ὡς γίνεται εὐδοκία ἔμπρο-
σθεν αὐτοῦ, καὶ πλεῖον. τινὲς ἀφύλακτοι
διὰ τὴν χάριν τῆς εὐσεβείας ἑαυτοὺς ἐλυμ-
ήναντο, ὅτι πλείω τῆς αὐτῶν δυνάμεως
πράττειν ἠθέλησαν, τὸ μὲν τῆς αὐτῶν
μικρότητος μέτρον οὐ σκοποῦντες, τὸ δὲ
τῆς καρδίας πάθος μᾶλλον, ἢ τὴν τοῦ λόγου
κρίσιν διώκοντες. ἐπεὶ δὲ μείζον τοῦ
Θεοῦ εὐδοκίας ἐπεχείρησαν, διὰ ταῦτα
τὴν χάριν ταχέως ἀπώλεσαν. ἐνδεεῖς ἐ-
γένοντο καὶ ἄτιμοι κατελείφθησαν, οἵπερ
εἰς τὸν οὐρανὸν τὴν νοσσιὰν αὐτῶν ἔθεσαν,
ἵνα ταπεινωθέντες καὶ πτωχισθέντες μά-
θωσι μὴ τοῖς πτεροῖς αὐτῶν πέτασθαι, ἀλλ'
ὑπὸ τὰς πτέρυγάς μου ἐλπίσαι. οἱ ἐν τῇ
ὁδῷ τοῦ κυρίου ἔτι νέοι καὶ ἄπειροι τυγχάν-
οντες, εἰ μὴ συνετῶν βουλῇ ἑαυτοὺς κυβερ-
νῶσι, ῥᾳδίως ἐξαπατᾶσθαι καὶ καταβάλλε-
σθαι οἷοί τ' εἰσίν.

---

γ. Ἐὰν δὲ τῇ γνώμῃ μᾶλλον ἕπεσθαι, ἢ τοῖς
ἄλλοις ἀσκηθεῖσι πιστεύειν βουληθῶσι, κιν-
δυνώδους ἐξόδου ἐπιτεύξονται, εἴπερ τῆς
ἰδίας προαιρέσεως ἀποτρέπεσθαι οὐ θέ-

βιβ: γ. κεφ: ζ. ϛιγμὴ γ. αχπγ. χθ Μην: β.

λήθουσιν. οἱ δοκησίσοφοι σπανίως ὑπ᾽ ἄλλων ἄρχεσθαι ταπεινῶς καρτεροῦσι. βέλτιόν ἐστιν ὀλίγον σὺν ταπεινότητι καὶ μικρᾷ συνέσει φρονεῖν, μεγάλων θησαυρῶν τιμίων ἐπιστημῶν, σὺν ματαίᾳ αὐθαδείᾳ. βέλτιόν σοί ἐστιν ἧττον, ἢ πολὺ ἔχειν, ἐφ᾽ ᾧ ἂν σεμνύνεσθαι δυνηθῇς. οὐκ ἄλλως φρονίμως πράττει, ὁ τῇ εὐφροσύνῃ ὅλως προσκείμενος, καὶ ἀμνημονῶν τῆς πρόσθεν ἐνδείας αὐτοῦ καὶ τοῦ ἁγνοῦ φόβου τοῦ κυρίου, τοῦ φοβουμένου μὴ τὴν χάριν δοθεῖσαν ἀπολέσῃ. μηδὲ ἱκανῶς ἐναρέτως φρονεῖ ὁ τῷ τῆς δυστυχίας καιρῷ καὶ ἡστινοσοῦν βαρύτητος ἄγαν ἀνελπίστως ἔχων, καὶ ἧττον πεποιθότως τοῦ δέοντος περὶ ἐμοῦ ἐννοῶν καὶ γινώσκων.

---

δ. Ὃς τῆς εἰρήνης καιρῷ ἄγαν ἀσφαλῶς ἔχειν ἐθέλει, πολλάκις τῷ τοῦ πολέμου καιρῷ ἄγαν ἄθυμος καὶ περίφοβος εὑρεθήσεται. εἰ ἐγίνωσκες ἀεὶ ταπεινὸς εἶναι, καὶ μικρὸν φρονεῖν, τὸ πνεῦμά σου καλῶς εὐθύνειν τε καὶ κυβερνᾶν, οὐκ οὕτω ταχέως ἂν εἰς κίνδυνον καὶ αἰτίαν ἐνέπιπτες. ἡ βουλὴ ἀγαθή ἐστι, τὸν τῆς ζέσεως τοῦ πνεύματος ἐπιτυχόντα μελετᾶν, τῇ

τί τοῦ ἀπερχομένου φωτὸς, γενήσεται.
τούτου δὲ γενομένου, ἐνθυμοῦ, ὅτι καὶ αὖ-
θις τὸ ~~φως~~ φῶς ἐπανελθεῖν δύναται, ὅπερ
εἰς μὲν προφυλακὴν σοῦ, ἐμοὶ δ᾽εἰς δόξ-
αν ἐπὶ χρόνον ἀδιαλείπτως.

ε. Τοιαύτη δοκιμασία πολλάκις χρησι-
μωτέρα ἐστὶ τοῦ ἀεὶ κατὰ γνώμην σου
εὐτυχεῖν. τὰς γὰρ ἀξίας οὐ δεῖ κρίνειν ἐκ
τούτου, εἴτις πλείους θεάσεις ἢ παρακλήσεις
ἔχει, ἢ τὰς γραφὰς ἐπαιδεύθη, ἢ εἰς τὸν
ὑψηλότερον βαθμὸν ἀνεβιβάσθη. ἀλλ᾽εἰ
ἐν τῇ ἀληθινῇ ταπεινότητι ἐθεμελιώθη,
καὶ τῆς θείας ἀγάπης ἐπλήσθη· εἰ τὴν τιμὴν
τοῦ θεοῦ καθαρῶς καὶ εἰλικρινῶς ἀεὶ ζητεῖ,
εἰ ἑαυτὸν περὶ οὐδενὸς ποιεῖται, καὶ ὄντως
καταφρονεῖ, καὶ τὸ ὑπ᾽ἄλλων φαυλίζεσθαι,
καὶ ταπεινοῦσθαι μᾶλλον ἢ τὸ τιμᾶσθαι χαί-
ρει.

β. γ. κεφ: η.

## Περὶ τοῦ εὐτελίζειν ἑαυτὸν κατενώπιον τοῦ θεοῦ.

α. Λαλήσω πρὸς τὸν κύριόν μου γῆ καὶ
σποδὸς ὤν. ἐὰν ἐμὲ περὶ πλείονος ποι-
ήσωμαι, ἰδοὺ σὺ ἀνθίστασαί μοι, καὶ αἱ ἀνο-
μίαι μου ἀληθῶς μαρτυροῦσιν, οὐδ᾽ἀντι-
λέγειν δύναμαι. ἐὰν δ᾽ἐμὲ εὐτελίσω,
καὶ ἐξουδενώσω, τῆς δέ τε ἰδίας τιμήσεως
παύσωμαι, καὶ (ὡς κακῶς εἰμί) ἐμαυτὸν
σποδίσω, ἡ χάρις σου ἱλαθήσεταί μοι

βιβ: γ. κεφ: η. ϛιγμὴ α, αχπυ. λ Μην: γ.

καὶ τὸ φάος σου τῇ καρδίᾳ μου ἐγγίσει, καὶ πᾶν τίμημα, κάνπερ ἐλάχιστον ὄν, ἐν τῇ τῆς οὐδενίας μου κοιλάδι καταποντισθήσεται, καὶ εἰς τὸν αἰῶνα ἀπολεῖται. ἐκεῖ ἐμέ μοι δεικνύεις, τί εἰμι, τί γέγονα, καὶ ποῖ ἦλθον· ὅτι οὐδὲν εἰμι, καὶ τοῦτο ἠγνόησα. εἰ ἐμαυτῷ καταλείπομαι, ἰδοὺ οὐδέν, καὶ παντελὴς ἀσθένεια. ἐὰν δ᾽ αἰφνιδίως εἰς ἐμὲ ἀποβλέψῃς, ταχέως κρατεῦμαι, καὶ καινῆς χαρᾶς ἐμπλήθομαι. καὶ σφόδρα θαυμαστόν, ὅτι οὕτω ταχέως ἐπαίρομαι, καὶ οὕτως εὐμενῶς, ὑπὸ σοῦ περιβάλλομαι, ὁ τῷ ἰδίῳ βάρει, πάντοτε εἰς τὰ κατώτατα φερόμενος.

---

β. Τοῦτο ποιεῖ ἡ ἀγάπη σου, ἡ δωρεὰν προφθάνουσά με, καὶ ἐν τόσαις ἀπορίαις βοηθοῦσα ἀπό τε δεινῶν κινδύνων φυλάττουσά με, καὶ μυρίων κακῶν (ὡς ἀληθῶς εἰπεῖν) ἐξαιρουμένη. τῇ γὰρ κακῇ φιλαυτίᾳ μου ἀπώλεσα με, τῷ δέ σε μόνον ζητεῖν, καὶ καθαρῶς φιλεῖν, σέ τε κἀμὲ εὗρον, καὶ ἐξ ἀγάπης βαθύτερόν με ἐξουδένωσα. σὺ

γὰρ ὃ ἔδωκε προσφέρῃ μοι, ὑπὲρ πᾶσαν ἀξίαν, καὶ ὑπὲρ ἐκεῖνο, ὃ ἐλπίζειν καὶ αἰτεῖν τολμῶ.

---

γ. Εὐλογηθήτω ὁ θεός μου, ὅτι, καίπερ ἐμοῦ πάντων ἀγαθῶν ἀναξίου ὄντος, ὅμως ἡ εὐγένεια καὶ ἄπειρος ἀγαθότης σου, οὔποτε λήγει καὶ τοὺς ἀχαρίστους καὶ μακρὰν σου ἀποστραφέντας εὖ ποιοῦσα. ἐπίστρεψον ἡμᾶς πρὸς σέ, ἵνα εὐχάριστοι, ταπεινοὶ καὶ θεοσεβεῖς γενώμεθα ὅτι σὺ σωτηρία ἡμῶν, δύναμίς τε, καὶ κραταίωμα ἡμῶν τυγχάνεις.

---

Κεφ: θ.

Ὅτι πάντα εἰς τὸν θεόν, ὡς εἰς ἔσχατον τέλος δεῖ ἀναφέρειν.

α. Τέκνον, ἐμὲ δεῖ εἶναι τὸ ὑπέρτατον καὶ τελευταῖον πέρας σου, εἴγε ἀληθῶς μακάριος γενέσθαι ἐθέλεις. ἐκ ταύτης τῆς προαιρέσεως, ἡ διάθεσίς σου, ἡ πολλάκις πρὸς σὲ καὶ πρὸς τὰς κτίσεις κακῶς κατακαμφθεῖσα καθαρισθήσεται. εἰ γὰρ σεαυτὸν ἔν τινι ζητεῖς, εὐθέως ἐν σοὶ ἐκλείπεις, καὶ ξηραίνῃ. πάντα τοίνυν κυρίως εἰς ἐμὲ ἀνάφερε, ὅτι ἐγώ εἰμι ὁ δοὺς ἅπαντα. οὕτως ἕκαστα σκόπει, ὡς ἐκ τοῦ ὑπερτάτου ἀγαθοῦ προερχό-

βιβ: γ'. κεφ: θ'. στιγμὴ α'. αχπγ'. λ' Μαΐ: ν.

μένα, διόπερ δεῖ πάντα εἰς ἐμὲ, ὡς τὴν ἀρχὴν αὐτῶν, ἀνάγειν.

---

β. Ἐξ ἐμοῦ ὁ μικρὸς καὶ ὁ μέγας, ὁ πένης καὶ ὁ πλούσιος, ὡς ἐκ πηγῆς ζώσης τὸ ζῶν ὕδωρ ἀντλοῦσι, καὶ οἱ ἑκουσίως καὶ ἐλευθέρως μοι δουλεύοντες, χάριν ἀντὶ χάριτος λήψονται. ὁ δ' ἔξω μου καυχᾶσθαι, ἢ ἀγαθῷ τινι ἰδίῳ ἥδεσθαι ἐθέλων, οὐκ ἐν τῇ ἀληθινῇ χαρᾷ βεβαιωθήσεται, οὐδ' ἐν τῇ καρδίᾳ αὐτοῦ πλατυνθήσεται, ἀλλὰ πολλαπλασίως ἐμποδισθήσεται, καὶ στενοχωρηθήσεται. μηδὲν οὖν τῶν ἀγαθῶν δεῖ σοι ἀνατιθέναι, μηδέ τινι τῶν ἀνθρώπων τὴν ἀρετὴν ἀπονέμειν· ἀλλ' ὅλον τῷ θεῷ ἀποδιδόναι, ἄνευ οὗ, ὁ ἄνθρωπος οὐδὲν ἔχει. ἐγὼ τὸ ὅλον δοὺς, τὸ ὅλον ἔχειν ἐθέλω, καὶ τὸ εὐχαριστεῖν ἀκριβοδικαίως ἀπαιτῶ.

---

γ'. Αὕτη ἡ ἀλήθειά ἐστιν, ᾗ ἡ κενοδοξία φυγαδεύεται· καὶ εἰσελθούσης τῆς οὐρανίου δόξης, καὶ τῆς ἀγάπης ἀληθινῆς, οὐ φθόνος τις ἔσται, οὐδὲ μικροψυχία, ἢ φιλαυτία σε καθέξει. ἡ γὰρ τοῦ θεοῦ ἀγάπη πάντων περιγίνεται, καὶ πάσας δυνάμεις τῆς ψυχῆς πλατύνει. εἰ καλῶς φρονεῖς, ἐπ' ἐμοὶ μόνῳ ἐλπιεῖς· ὅτι οὐδεὶς ἀγαθὸς, εἰ μὴ

δέξ
μόνος ὁ Θεὸς, ὃ ὑπὲρ πάντα ἐπαινετὸς, καὶ ἐν πᾶσιν εὐλογητός ἐστι. 104
~~τ μόνῳ χαρᾷ, καὶ ἐπ' ἐμοῦ~~

Κεφ. ι.

Ὅτι τῷ τοῦ κόσμου καταφρονήσαντι, ἡδύ ἐστι δουλεύειν τῷ Θεῷ.

α. Νῦν πάλιν λαλήσω Κύριε, καὶ οὐ σιωπήσω. λέξω ἐν τοῖς ὠσὶ τοῦ Θεοῦ μου, καὶ τοῦ βασιλέως μου, τοῦ ἐν τῷ ὑψίστῳ. ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε; τί δ' εἶ τοῖς ἀγαπῶσί σε; τί τοῖς ὅλῃ τῇ καρδίᾳ δουλεύουσί σοι; ἀληθῶς ἀπόρρητος ἡ χρηστότης θεωρίας σου, ἣν τοῖς ἀγαπῶσί σε χαρίζῃ. ἐν τούτῳ μάλιστα ἐπέδειξάς μοι τὴν τῆς ἀγάπης σου χρηστότητα, ὅτι με μὴ ὄντα ἐποίησας, καὶ μακρὰν ἀποπλανώμενόν σου, ἐπανήγαγες, τοῦ δουλεύειν σοι, καὶ ἐπέταξας ἀγαπᾶν σε.

---

λά. δ.

β. Ὦ πηγὴ τῆς αἰωνίου ἀγάπης, τί λέξω περὶ σοῦ; πῶς δυνήσομαι ἀμνημονεῖν σου; ὃς ἠξίωσας μνησθῆναί μου τοῦ ἤδη διατακέντος, καὶ ἀπολωλότος; ὑπὲρ πᾶσαν ἐλπίδα ἐποίησας ἔλεος μετὰ τοῦ δούλου σου, καὶ ὑπὲρ πᾶσαν ἀξίαν, τὴν χάριν καὶ φιλίαν παρέσχες. τί ἀνταποδώσω σοι ἀντὶ

βιβ: γ. κεφ: ι. στιχ: β. α. χ. π. γ. λα. ...

ταύτης τῆς χάριτος; οὐ γὰρ πᾶσιν ἐδόθη, πάντα ἀφέντας τῷ κόσμῳ ἀποτάξασθαι, καὶ βίον μοναστικὸν προαιρεῖσθαι. μήτι μέγα ἐστὶν ἐμὲ δουλεύειν σοι, ᾧτινι πᾶσα κτίσις δουλεύειν ὀφείλει; οὐ μέγα μοι ἂν φαίνοιτο δουλεύειν σοι· μᾶλλον δὲ τοῦτο μέγα καὶ θαυμαστὸν δοκεῖ μοι, ὅτι οὕτω πένητα καὶ ἀνάξιον εἰς δοῦλον ἀποδέξασθαι, καὶ τοῖς ἀγαπητοῖς δούλοις σου προσαριθμῆσαι ἀξίοις.

---

γ. Ἰδοὺ, πάντα σά ἐστιν, ἅπερ ἔχω, καὶ ἐξ ὧν σοι δουλεύω, καίτοι ἐξ ἐναντίας, σὺ μᾶλλον δουλεύεις μοι, ἢ ἐγὼ σοί. ἰδοὺ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἃ εἰς τὴν ὑπηρεσίαν τοῦ ἀνθρώπου ἔκτισας, πάρεισι, καὶ καθεκάστην ἃ ἐνετείλω, ποιοῦσι. καὶ τοῦτο μὲν μικρόν, ἔτι καὶ τοὺς ἀγγέλους εἰς τὴν τοῦ ἀνθρώπου διακονίαν διετάξας. τοῦτο δὲ πάντων ὑπερβαίνει, ὅτι σὺ αὐτὸς τῷ ἀνθρώπῳ δουλεύειν ἠξίωσας, καὶ σεαυτὸν ἐκείνῳ δώσειν ὑπέσχου.

---

δ. Τί δώσω σοι ἀντὶ τούτων πάντων

χιλίων ἀγαθῶν; εἴθε πάσαις ταῖς ἡμέ-
ραις τῆς ζωῆς μου ἐδυνάμην σοι δουλεύ-
ειν. εἴθε μίαν γε ἡμέραν ἀξίαν δουλείαν πα-
ρέχειν οἷός τε ἐγινόμην. ἀληθῶς σὺ ὑπάρ-
χεις ἄξιος πάσης δουλείας, πάσης τιμῆς,
καὶ ἐπαίνου αἰωνίου. ἀληθῶς σὺ ὁ κύριός
μου εἶ, κἀγὼ πένης σου δοῦλος, ὃ ὀφείλω
ἐξ ὅλης τῆς ἰσχύος δουλεύειν σοι, καὶ μηδέ-
ποτε ἐν τῷ ἐπαινεῖν σε ἀηδῶς ἔχειν.
οὕτως ἐθέλω, οὕτως ἐπιθυμῶ, καὶ πᾶν ὅ,τι
μοι ἐπιλείπει, σὺ ἀναπληροῦν ἀξίωσον.

---

έ. Μεγάλη τιμή, μεγάλη δόξα δουλεύειν
σοι, καὶ πάντων διά σε καταφρονεῖν. ἕξουσι
γὰρ μεγάλην χάριν, οἱ τῇ ἁγιοτάτῃ δου-
λείᾳ σου ἑαυτοὺς ἑκουσίως ὑποτάξουσιν.
εὑρήσουσιν ἡδίστην παράκλησιν τοῦ ἁγίου πνεύ-
ματος, οἱ ὑπὲρ ἀγάπης σου, πᾶσαν τέρψιν
σαρκικὴν ἀποβαλοῦσιν. ἐπιτεύξονται
μεγάλης ἐλευθερίας τοῦ νοῦ, οἱ στενὴν
ὁδὸν ὑπὲρ τοῦ ὀνόματός σου βαδίζοντες
πάσης τῆς κοσμικῆς φροντίδος ἀμελή-
σουσιν.

---

ϛ'. Ὢ τῆς χαριέσσης καὶ ἡδείας δουλείας τοῦ
θεοῦ ᾗ ὁ ἄνθρωπος ἀληθῶς ἐλεύθερος καὶ
ἅγιος ἀποβαίνει. ὢ τῆς ἁγίας καταστάσεως

βιβ: γ. κεφ: ι. στιγμὴ ς. ἀρχὴ γ. λαμβαν. ἐκ
τῆς ἀσκητικῆς ὑπηρεσίας, ἣ τὸν ἄνθρω-
πον τοῖς ἀγγέλοις ὅμοιον, τῷ θεῷ χαρί-
εντα, τοῖς δαιμονίοις φοβερὸν, καὶ πᾶσι
πιστοῖς ἀγαπητὸν κατεργάζεται. ὢ
τῆς εὐπροσδέκτου καὶ ἀεὶ εὐκτῆς δουλείας,
ἧ τοῦ μεγίστου ἀγαθοῦ ἄξιοι γινόμεθα,
καὶ τῆς χαρᾶς ἀπεράτου τυγχάνομεν.

---

## Κεφ: ια.

### Ὅτι τὰς τῆς καρδίας ἐπιθυμίας χρὴ ἐξετάζειν καὶ χαλιναγωγεῖν.

α. Τέκνον, ἔτι πολλὰ δεῖ σε μανθά-
νειν, ἃ μήπω εὖ ἔμαθες. τίνα ταῦτά
ἐστι, κύριε; ἵνα τὴν ἐπιθυμίαν σου πρὸς
εὐδοκίαν μου παντελῶς κατευθύνῃς,
καὶ μὴ φίλαυτος, ἀλλὰ τοῦ θελήματός
μου ἐπιθυμητικὸς ζηλωτὴς γίνῃ. αἱ ἐπι-
θυμίαι πολλάκις σε διακαίουσι καὶ σφό-
δρα παροξύνουσιν, ἀλλὰ σκόπει, εἰ διὰ
τὴν τιμήν μου, ἢ διὰ τὴν ὠφέλειάν
σου μᾶλλον ἂν ἐπαχθῇς. ἐὰν δι' ἐμὲ
τοῦτο γένιται, αὐταρκῶς ἕξεις, ὅπως-
οῦν ἂν διατιθῶ. ἐὰν δέ τι τῆς ἰδίας χρεί-
ας ἀποκρύπτηται, ἰδοὺ τοῦτό ἐστι τὸ ἐμ-
ποδίζον καὶ βαρῦνον.

---

 

β'. Φυλάττου τοίνυν, ἄγαν ἐπερείδεσθαι τῇ ἐπιθυμίᾳ τῇ προεγγενομένῃ, ἐμοῦ οὐ συμβουλευθέντος· μήπως ὕστερον μετανοήσῃς, ἢ ἀπαρέσῃ, ὃ πρῶτον ἤρεσε, καὶ ὅτι ὡς βέλτιον ὂν ἐζήλωσας. οὐ γὰρ δεῖ πᾶν πάθος τὸ καλὸν εἶναι δοκοῦν εὐθέως διώκειν, οὐδὲ πᾶν ἐναντίον, καταρχὰς φεύγειν. λυσιτελεῖ ἐνίοτε καὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ τὰς ἐπιθυμίας χαλιναγωγεῖν, ἵνα μὴ δι' ἀκαιρίαν τῷ τῆς διανοίας διασπασμῷ περιπίπτῃς, ἢ διὰ τὴν ἀπαιδευσίαν τοῖς ἄλλοις σκανδαλίζῃς, ἢ διὰ τὴν τῶν ἄλλων ἀντίστασιν, ταχέως ταράτῃ καὶ καταπίπτῃς.

γ'. Ἐνίοτε δ' ἐπάναγκες βίᾳ χρῆσθαι, καὶ τῇ αἰσθητικῇ ἐπιθυμίᾳ ἀνδρείως ἀντιστατεῖν, καὶ οὐ προσέχειν, τί ἂν ἡ σὰρξ βούληται, ἢ οὐ βούληται, ἀλλὰ μᾶλλον σπουδάζειν, ὅπως καὶ ἄκουσα τῷ πνεύματι ὑποταχθῇ. καὶ ἐπὶ τοσοῦτον δεῖ αὐτὴν ὑποπιάζεσθαι καὶ ἀναγκάζεσθαι δουλεύειν, ἕως ὅσον ἑτοίμως ἔχει πρὸς πάντα, καὶ μανθάνει ὀλίγοις ἀγαπᾶν, καὶ τοῖς ἁπλοῖς ἥδεσθαι, οὐδὲ κατ' ἐναντιώματός τινος γογγύζειν.

Κεφ: ιβ'.

## Περὶ τοῦ παιδεύματος τῆς ὑπομονῆς καὶ τῆς πάλης, τῆς πρὸς τὰς ἐπιθυμίας.

Κύριε ὁ θεός, ὡς καθορῶ, ὑπομονῆς μεγάλης χρείαν ἔχω. πολλὰ γὰρ ἐναντία ἐν τούτῳ τῷ βίῳ συμβαίνει. ὁπωσοῦν γὰρ ἂν τὰ τῆς εἰρήνης μου διατάξω ὁ βίος μου ἀπόλεμος καὶ ἄλυπος εἶναι οὐ δύναται. ναὶ τέκνον. πλὴν οὐ θέλω σε τοιαύτην εἰρήνην ζητεῖν, ἣ τῶν πειρασμῶν ἄπεστι, καὶ τῶν ἐναντίων οὐκ αἰσθάνεται· ἀλλὰ καὶ τότε τὴν εἰρήνην εὑρεῖν δοκεῖν, ὅταν ποικίλαις θλίψεσιν ἀσκηθῇς, καὶ πολλοῖς ἐναντιώμασι δοκιμασθῇς.

---

β. Ἐὰν εἴπῃς ὅτι οὐχ οἷός τ' εἰμὶ πολλὰ παθεῖν, πῶς τότε τὸ καθαρτικὸν πῦρ ὑπομενεῖς; ἐκ δυοῖν κακῶν τὸ ἧττον ἀεὶ αἱρετέον. ὅπως οὖν τὰς μελλούσας αἰωνίους τιμωρίας ἐκφυγεῖν δυνηθῇς, τὰ παρόντα κακὰ ὑπὲρ τοῦ θεοῦ ἀνεπαχθῶς φέρειν σπούδαζε. μὴ τοὺς ἀνθρώπους τούτου κόσμου οὐδὲν, ἢ ὀλίγον ὑπομένειν νομίζεις; τόδε οὐχ εὑρήσεις, καίπερ τοὺς τρυφερωτάτους ζητήσας. ἀλλ' ἔχουσι καὶ αὐτοὶ πολλὰς τέρψεις, καὶ τὰς ἰδίας προαιρέσεις διώκουσι, διὸ τὰς θλίψεις αὐτῶν ὀλίγον σταθμῶνται. ἀλλ' ἔχωσιν, ὅ,τι ἂν βούλονται· ἐφ' ὅσον ἄρα τοῦτο διαμενεῖ;

51 ἀθαρχηλιζόμενος, ε.

γ. Ἰδοὺ, οἱ εὐθυμοῦντες εἰς τὸν αἰῶνα
ὡς καπνοὶ ἐκλείψουσι, καὶ οὐδεμία ἀνάμ-
νησις τῶν παρεληλυθότων χαρῶν ἔσται.
περὶ δὲ τούτων, ἔτι ζῶντες, ἀπίκρως, ἀλύ-
πως, καὶ ἀφόβως ἐν αὐτοῖς οὐχ ἡσυχάζου-
σιν. ἐκ τοῦ γὰρ αὐτοῦ, ὅθεν ἡδονὴν αὐτοὶ
λαμβάνουσιν, ἐκεῖθεν τὴν τῆς λύπης
τιμωρίαν πολλάκις ὑπέχουσι. τοῦτο δὲ
εἰκότως αὐτοῖς συμβαίνει. ἵνα ὅτι τὰς
τέρψεις ἀτάκτως ζητοῦσι καὶ θηρεύουσιν
ἄνευ αἰσχύνης καὶ πικρότητος αὐταῖς οὐκ
ἀναπληρώσωσι.

---

δ. Ὡς βραχεῖαι, ὡς ψευδεῖς, ὡς ἄτακ-
τοι, καὶ αἰσχραὶ πᾶσαι εἰσιν; καίτοι ὑπὸ
μέθης, καὶ τυφλότητος οὐ γινώσκουσιν·
ἀλλ' ὡς κωφὰ ζῶα, διὰ μικρὰν τερ-
πωλὴν τῆς φθαρτῆς ζωῆς (τινος) τῆς ψυχῆς θά-
νατον ἐμπίπλουσι. σὺ οὖν ὦ τέκνον, ὀπί-
σω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀ-
πὸ τῶν ὀρέξεων σου κωλύου. κατατρύφη-
σον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα
τῆς καρδίας σου.

---

β. 5.

έ. Εἰ γὰρ ἀληθῶς ἥδεσθαι, καὶ εὐπορώτε-
ρον ὑπ' ἐμοῦ παρακαλεῖσθαι ἐθέλεις, ἰδοὺ
ἐν τῇ καταφρονήσει πάντων τῶν κοσ-
μικῶν, καὶ ἐν τῇ ἀποτομῇ πάντων τῶν

βιβ: γ. κεφ: ιβ. στιγμὴ ε. ἀρχὴ β παρ: ς.

κάτω τέρψειον ἡ εὐλογία σου ἔσται καὶ ἄφθονος παραμυθία σοι ἀποδοθήσεται. καὶ ὅσῳ μᾶλλον ἂν πάσης παρακλήσεως τῶν κτισμάτων σὺ ὑπεξανάγῃς, τοσούτῳ ἡδίους καὶ δυνατωτέρας παραμυθίας ἐν ἐμοὶ εὑρήσεις. ἀλλὰ πρῶτον ἐπὶ ταύτας ἄνευ λύπης τινὸς καὶ πόνου ἀγωνιστικοῦ οὐκ ἀφίξῃ. ἀντιστατήσει τὸ μὲν ἐγχρονίζον ἔθος, ἀλλὰ τοῦτο τῷ βελτίονι ἔθει νικηθήσεται. καταγογγύσει ἡ σάρξ, ἀλλὰ τῇ τοῦ πνεύματος ζέσει χαλιναγωγηθήσεται. παροξυνεῖ καὶ πικρώσει σε ὁ ἀρχαῖος ὄφις, ἀλλὰ τῇ προσευχῇ φυγαδευθήσεται, ἔτι δὲ καὶ διὰ χρησίμου πόνου ἡ πρόσοδος ἐκ μέρους πολλοῦ αὐτῷ διακλείεται.

---

## Κεφ: ιγ.

## Περὶ τῆς ὑπακοῆς τοῦ ταπεινοῦ ἀρχομένου πρὸς τὸ τοῦ Χριστοῦ παράδειγμα.

α. Τέκνον, ὁ τῆς ὑπακοῆς ἑαυτὸν ὑπεξάγειν ἐπιχειρῶν, ἑαυτὸν τῆς χάριτος ὑπεξάγει. καὶ ὁ τὰ ἴδια ἔχειν ἐπιθυμῶν τῶν κοινῶν ἀποστερεῖται. ὁ οὐκ ἀσμένως καὶ ἑκουσίως τῷ προστάτῃ

αὐτοῦ ὑπακούων, δηλοῖ, ὅτι οὔπω ἡ
σὰρξ αὐτοῦ τελείως ὑπακούει αὐτῷ,
ἀλλὰ πολλάκις ἀναλακτίζει, καὶ κατα-
γογγύζει. μάνθανε οὖν τῷ προστάτῃ
σου ὑποταχθεὶς τάττεσθαι, εἰ τὴν σάρκα
σου ὑπὸ σοῦ ποιεῖσθαι ἐπιθυμεῖς. τάχιον
γὰρ ὁ ἔξω ἐχθρὸς νικᾶται, τοῦ ἐνδο-
τέρου ἀνθρώπου οὐ διεφθαρμένου. οὐκ ἔστι
δυσχερέστερος καὶ κάκιον τῇ ψυχῇ ἐχθρὸς,
ἢ σὺ σεαυτῷ, μὴ καλῶς τῷ πνεύματι
ὁμογνωμονοῦν. δεῖ παντελῶς ἀληθι-
νὴν σε καταφρόνησιν σεαυτοῦ προσλαβεῖν,
εἰ τῆς σαρκὸς καὶ τοῦ αἵματος περιγίνε-
σθαι ἐθέλεις.

---

β. Ὅτι σεαυτὸν ἔτι λίαν ἀτάκτως ἀγαπᾷς,
διὰ τοῦτο τῇ θελήσει ἄλλων παντελῶς
σεαυτὸν ὑποτάσσειν κατοκνεῖς. τί δὲ μέ-
γα, εἰ σύ, σποδὸς ὢν καὶ μηδέν, διὰ τὸν θε-
ὸν τῷ ἀνθρώπῳ σε ὑποτάσσεις, ἐπειδὴ
ἐγὼ παντοδύναμος καὶ ὕψιστος, ὁ πάντα
ἐκ μηδενὸς κτίσας, ἐμαυτὸν τῷ ἀνθρώ-
πῳ διὰ σὲ ταπεινῶς ὑπέταξα; πάντων
ταπεινότατος καὶ κατώτατος γέγονα, ἵνα
τὴν ὑπερηφανίαν σου τῇ ταπεινότητί μου
νικήσῃς. μάνθανε σποδὲ ὑπακούειν.
μάνθανε ταπεινῶσαί σε γῆ καὶ χοῦς καὶ

βιβ: γ. κεφ: ιγ. στιχμὴ β. αχπγ. β Ταργ. 5.
ὑποκάτω τῶν ποδῶν ἁπάντων ἐπικάμπτειν. μάνθανε τὰς προαιρέσεις σου δουλοῦν, καὶ πρὸς πάντα ἐπιταττόμενα προθύμως ἔχειν.

---

γ. Ἐκκάου κατὰ σοῦ, καὶ οὐκ ἔα τὸν ὄγκον ἐν σοὶ ζῆν, ἀλλ' οὕτως ὑπάκοον καὶ μικρόν σε πάρεχε, ἵνα πάντες ἐπὶ σὲ ἐπιβαίνειν, καὶ ὡς πηλὸν πλατειῶν καταπατεῖν δυνηθῶσι. τί ἔχεις ἄνθρωπε μάταιε μεμψιμοιρεῖν; τί ἔχεις ἁμαρτωλὲ ἀντιλέγειν τοῖς ὀνειδίζουσί σοι, ὁ τοσάκις τῷ θεῷ προσκρούσας, καὶ πολλάκις τῷ ᾅδῃ ἔνοχος γεγονώς; ἀλλ' ἐφείσατό σου ὁ ὀφθαλμός μου, ὅτι ἡ ψυχή σου ἔντιμος ἐγένετο ἐνώπιόν μου, τοῦ γνῶναι σε τὴν ἀγάπην μου, καὶ ὑπὲρ τῶν εὐεργετημάτων μου ἀεὶ εὐχάριστον γενέσθαι, τῇ τε ἀληθινῇ ὑποταγῇ καὶ ταπεινότητι ἀδιαλείπτως προσκεῖσθαι, καὶ τὴν ἰδίαν καταφρόνησιν ὑπομονητικῶς καρτερεῖν.

---

## Κεφ: ιδ.

### Περὶ τοῦ τὰ κρυπτὰ κρίματα τοῦ θεοῦ σκοπεῖν, τοῦ μὴ ἡμᾶς ἐπὶ τοῖς ἀγαθοῖς ἐπαρθῆναι.

α. Ἐπιβροντᾷς μοι τὰ κρίματά σου, κύριε, καὶ φόβῳ καὶ τρόμῳ διασείεις πάν-

τα τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου σφόδρα ἐκθαμβεῖται. ἕστηκα ἀπόπληκτος, καὶ σκοπῶ, ὅτι οἱ οὐρανοὶ οὐ καθαροί εἰσιν ἐναντίον σου. εἰ ἐν τοῖς ἀγγέλοις πονηρίαν εὗρες, καὶ οὐκ ἐφείσω, τί συμβήσεταί μοι; ἔπεσον οἱ ἀστέρες ἐκ τοῦ οὐρανοῦ, κἀγὼ σποδὸς τί προλαμβάνω; εἶδον τὰ ἔργα ἐπάνω τὰ ἔξοχα οὗτοι εἰς τὰ κατώτατα ἔπεσον, καὶ τοὺς τὸν ἄρτον τῶν ἀγγέλων φαγόντας, τοῖς κερατίοις τῶν χοίρων ἡδομένους ἑώρακα.

---

β. Οὐδεμία τοίνυν ἁγιότης ἐστιν, εἰ τὴν χεῖρά σου κύριε ὑφέλκεις. οὐδεμία σοφία λυσιτελεῖ, εἰ κυβερνῶν λήγεις. οὐδεμία ἰσχὺς ὠφελεῖ, εἰ διασώζων παύῃ. οὐδεμία ἁγνεία ἀσφαλὴς, εἰ αὐτὴν οὐχ ὑπερασπίζεις. οὐδεμία ἰδία φυλακὴ συμφέρει, εἰ μὴ ἡ ἁγία ἀγρυπνία σου παραγίνεται. ἡμεῖς μὲν γὰρ καταλειφθέντες καταποντιζόμεθα καὶ ἀπολλύμεθα. ἐπισκοπηθέντες ἐγειρόμεθα καὶ βιοῦμεν. ἀβέβαιοι δὴ τυγχάνομεν, ἀλλὰ διὰ σοῦ βεβαιούμεθα. χλιαινόμεθα, ἀλλ' ὑπὸ σοῦ ἀνακαιόμεθα.

---

γ. Ὡς ταπεινῶς καὶ εὐτελῶς δεῖ ἐμὲ περὶ ἐμαυτοῦ γινώσκειν· ὡς οὐδενὸς τιμᾶν, εἰ τί ἀγαθὸν ἔχειν δοκῶ. ὡς βαθέως ὑπὸ τὴν τῶν κριμάτων σου ἀβύσ-

βιβ: γ. κεφ: ιδ. στιγμὴ γ. αχπγ. γ ταρν: ζ.

ἀδύνατον ταπεινῶσαί με ἱκανῶς, κύριε· ὅπου
μηδὲν ἄλλο ἐμὲ ὄντα εὑρίσκω, ἢ μηδὲν
καὶ μηδέν. ὢ βάρος ἀμέτρητον· ὢ πέλα-
γος ἀδιανήκτον, ὅπου περὶ ἐμοῦ μηδὲν
εὑρίσκω, εἰ μὴ ἐν τῷ ὅλῳ μηδέν. ποῦ τοί-
νυν ἐστὶν ἡ τῆς δόξης ἀποκρυφή; ποῦ ἡ πεποί-
θησις ἡ ἐκ τῆς ἀρετῆς γενομένη; κατεπόθη
πᾶσα ἡ ματαία καύχησις ἐν τῷ βάθει τῶν
κριμάτων σου τῶν ἐπ' ἐμέ.

---

δ. Τί πᾶσα σὰρξ ἐστὶν ἐνώπιόν σου; μὴ καυ-
χήσεται ὁ πηλὸς κατὰ τοῦ πλάττοντος ἑαυ-
τόν; πῶς ἐπαρθῆναι δύναται, οὗτινος καρδί-
α ἀληθῶς ὑποτάσσεται τῷ θεῷ; οὐκ αὐτὸν
ὅλος ὁ κόσμος ἐπαρεῖ, ὃν ἡ ἀλήθεια ἑαυτῇ
ὑπέταξεν, οὐδὲ πάντων ἐπαινούντων στόμα-
τι κινηθήσεται, ὃς πᾶσαν ἐλπίδα αὐτοῦ
ἐν τῷ θεῷ ἐστερέωσε. καὶ γὰρ καὶ αὐτοὶ οἱ
λαλοῦντες, ἰδοὺ πάντες οὐδέν· ἐκλείψουσι
γὰρ μετ' ἤχου τῶν ῥημάτων· ἡ δὲ ἀλή-
θεια τοῦ κυρίου μένει εἰς αἰῶνα.

---

Κεφ: ιε.

## Πῶς δεῖ ἔχειν καὶ λέγειν ἐν παντὶ ἐπιποθήτῳ πράγματι.

α. Τέκνον, οὕτως εἰπὲ ἐν παντὶ πράγματι·
κύριε, εἰ οὕτω γίνεται εὐδοκία ἔμπροσθέν
σου, τοῦτο γενηθήτω. κύριε, εἰ ἔστι δόξα

σου, γενηθήτω τοῦτο ἐν τῷ ὀνόματί
σου. κύριε, ἐὰν τοῦτο συμφέρον μοι γι-
νώσκεις, καὶ χρήσιμον εἶναι νομίζεις,
τότε χάρισαί μοι τούτῳ χρῆσθαι εἰς
τὴν δόξαν σου. ἐὰν δὲ βλαβερόν μοι,
καὶ τῇ τῆς ψυχῆς μου σωτηρίᾳ οὐκ ὠφέ-
λιμον γενησόμενον κατίδῃς, ἆρον ἀπ'
ἐμοῦ τοιαύτην ἐπιθυμίαν. οὐ γὰρ πᾶσα
ἐπιθυμία ἀπὸ τοῦ ἁγίου πνεύματός ἐστιν,
εἰ καὶ τῷ ἀνθρώπῳ ὀρθὴ καὶ καλὴ εἶναι
δοκεῖ. χαλεπόν ἐστιν ἀληθῶς διαγι-
νώσκειν, εἰ τὸ πνεῦμα ἀγαθόν, ἢ ἀλλό-
τριον εἰς τὸ τοῦτο ἢ ἐκείνου ἐπιθυμεῖν
σε ἐπάγει, ἢ ἐξ ἰδίου πνεύματος παρ-
ορμᾷ. πολλοὶ γὰρ ἐπὶ τέλει ἠπατή-
σαν, οἱ πρῶτον τῷ ἀγαθῷ πνεύματι
ἐπαχθῆναι δοξάντες.

---

β. Χρὴ μὲν οὖν ἀεὶ μετὰ τοῦ φόβου θεοῦ
καὶ τῆς ταπεινότητος τῆς καρδίας ἐπιπο-
θεῖν ὅτιοῦν ἐπιπόθητον τῷ νῷ ἐπέρχεται.
μάλιστα δὲ μετὰ πάσης ἀπαρνήσεως
ὅλον μοι ἐπιτρέπειν, καὶ λέγειν· κύριε
σὺ γινώσκεις, πῶς βέλτιόν ἐστι. ποίησον
τοῦτο, ἢ ἐκεῖνο καθὼς σὺ βούλει. δὸς ὅ,τι
θέλεις, καὶ ὁπότε θέλεις. ποίησον μετ'
ἐμοῦ καθὼς ἐπίστασαι, καὶ καθὼς μᾶλ-
λόν σοι ἀρέσει, καὶ μείζων δόξα σου γε-
νήσεται. τίθετί με ὅπου ἂν ἐθέλεις

βιβ: γ΄. κεφ: ιε΄. στιχ: β΄. ἀρχ: γ΄. τελ: ζ΄.

ἐθέλῃς, καὶ ἐλευθέρως μοι χρῆσθαι ἐν πᾶσιν. ἐν χειρί σου εἰμι, στρέφε καὶ ἀνάστρεφέ με κύκλῳ. ἰδοὺ ἐγὼ δοῦλός σου εἰς πάντα ἕτοιμος ὑπάρχων· ὅτι οὐκ ἐμοί, ἀλλά σοι ἐπιθυμῶ βιῶσαι· εἴθε ἀξίως καὶ τελείως.

---

Εὐχὴ ὑπὲρ τοῦ τὴν εὐδοκίαν τοῦ θεοῦ διατελεῖν.

α΄. Παράσχου μοι ἠπιώτατε Ἰησοῦ, τὴν χάριν σου, ἵνα συμπαρέσῃ μοι κοπιάσῃ καὶ ἕως τοῦ τέλους συνδιατελέσῃ μοι. δός μοι τοῦτο πάντοτε ἐπιποθεῖν καὶ βούλεσθαι, ὅ,τι σοι χαριέστερον γίνεται, καὶ μᾶλλον ἀρέσκει. τὸ θέλημά σου ἐμὸν γένοιτο, καὶ τὸ ἐμὸν θέλημα, ἀεὶ τῷ σῷ ἕψαιτο, καὶ κάλλιστα αὐτῷ ὁμογνωμονῆσαι. εἴη μοι τὸ αὐτὸ ἐθέλειν, καὶ οὐκ ἐθέλειν μετὰ σοῦ καὶ οὐκ ἄλλο δύνασθαι βούλεσθαι, καὶ οὐ βούλεσθαι, εἰ μὴ ὅ,τι σὺ ἐθέλεις, καὶ οὐκ ἐθέλεις.

---

β΄. Χάρισαί μοι, πᾶσι τοῖς ἐν τῷ κόσμῳ οὖσιν ἀποθανεῖν, καὶ διὰ σὲ φιλῆσαι τὸ καταφρονεῖσθαι, καὶ ἀγνοεῖσθαι ἐν τούτῳ τῷ κόσμῳ. δός μοι ὑπὲρ πάντα ἐπιπόθητα ἐν σοὶ ἀναπαύεσθαι, καὶ τὴν καρδίαν μου ἐν σοὶ εἰρηνεύειν. σὺ ἀληθινὴ εἰρήνη τῆς καρδίας,

βιβ: γ. κεφ: ιε. ςίχ. εὐχὴν β. ἀρχὴν γ. ταρ. ζ.

σὺ μόνη ἀνάπαυσις· ἔξω σοῦ πάντα σκληρὰ καὶ ἀνύσιμα ὑπάρχει. ἐν ταύτῃ τῇ εἰρήνῃ ἐπὶ τὸ αὐτό, τουτέστιν, ἐν σοὶ μόνῳ, μεγίστῳ, καὶ αἰωνίῳ ἀγαθῷ κοιμηθήσομαι καὶ ὑπνώσω. Ἀμήν.

## Κεφ: 15.

### Ὅτι τὴν ἀληθινὴν παραμυθίαν ἐν μόνῳ τῷ θεῷ ζητητέον.

α. Ὅτι ποσοῦν ἐπιθυμεῖν, ἢ ἐννοεῖν εἰς τὴν παραμυθίαν μου δύναμαι, οὐκ ἐνθάδε, ἀλλ' ἐν τῷ μέλλοντι προσδοκῶ. εἰ πάσας παρακλήσεις τοῦ κόσμου μόνος εἶχον, καὶ πασῶν τρυφῶν ἀπόλαυσιν ἐδυνάμην, δῆλόν ἐστιν, ὅτι πολὺν χρόνον διαμένειν οὐκ ἂν ἐδύνατο. ὅθεν ψυχή μου οὐχ οἵα τε γίνῃ ἐκπλέως παρακληθῆναι, ἢ παντελῶς ἱλαρωθῆναι, εἰ μὴ ἐν τῷ θεῷ τῷ παρακλήτῳ τῶν πτωχῶν, καὶ ὑποδεχεῖ τῶν ταπεινῶν. προσδόκα μικρὸν ψυχή μου, προσδόκα τὴν τοῦ θεοῦ ἐπαγγελίαν, καὶ ἕξεις τὴν εὐθηνίαν πάντων ἀγαθῶν ἐν οὐρανῷ. εἰ ἄγαν ἀτάκτως τούτων τῶν παρόντων ὀρέγῃ, τὰ αἰώνια καὶ ἐπουράνια ἀπολέσεις. γένοιτο τὰ πρόσκαιρα ἐν χρήσει, τὰ αἰώνια ἐν ἐπιθυμίᾳ. οὐκ οἷός τ' εἶ τινος προσκαίρου ἀγαθοῦ κορεσθῆναι, ὅτι εἰς τὸ τούτων ἀπόλαυσιν οὐκ

β. Εἰ καὶ πάντα τὰ κτισθέντα ἀγαθὰ ἄχες, οὐκ ἂν ἐδύνασο εἶναι εὐδαίμων καὶ μακαρία, ἀλλ' ἐν τῷ θεῷ τῷ πάντα κτίσαντι πᾶσα ἡ εὐδαιμονία καὶ μακαριότης σου κεῖται, οὐ μὲν οἷα δοκεῖ καὶ ἐπαινεῖται τοῖς ματαίοις κοσμοφίλοις, οἵαν δὲ οἱ ἀγαθοὶ πιστοὶ τοῦ Χριστοῦ προσδοκῶσι, ἣν καὶ οἵας ποτὲ προγεύονται οἱ πνευματικοὶ καὶ καθαροκάρδιοι, ὧν πολίτευμα ἐν τῷ οὐρανῷ ὑπάρχει. ματαία καὶ βραχεῖα πᾶσα ἡ ἀνθρωπίνη παραμυθία ἐστι. μακαρία δὲ καὶ ἀληθινὴ παραμυθία, ἣ ἐντὸς παρὰ τῆς ἀληθείας λαμβάνεται. εὐλαβὴς ἄνθρωπος πανταχοῦ τὸν παράκλητον αὐτοῦ τὸν Ἰησοῦν μεθ' αὐτοῦ κομίζει, καὶ λέγει πρὸς αὐτόν. πάρεσθί μοι κύριε Ἰησοῦ, ἐν παντὶ τόπῳ καὶ χρόνῳ, αὕτη παράκλησίς μοι γινέσθω, τὸ ἀσμένως ἐθέλειν πάσης ἀνθρωπίνης παρακλήσεως ἀπορεῖν. καὶ μὴ ἡ παραμυθία σου ἄπεστι, τὸ θέλημά σου

η. α.

ἡ δικαία δοκιμασία ἀντὶ μεγίστης πα-
ρακλήσεώς μοι ἔστω, οὐ γὰρ εἰς τέλος
ὀργισθήσῃ οὐδ' εἰς αἰῶνα μηνιεῖς.

---

## Κεφ: ιζ.

α. Ὅτι χρὴ πᾶσαν τὴν μέριμναν ἐπὶ
τὸν θεὸν ἐπιῤῥίπτειν.

Τέκνον, ἔασόν με χρῆσθαί σοι, ὡς ἐθέ-
λω· ἐγὼ οἶδα τὸ συμφέρον σοι. σὺ ἐν-
θυμῇ ὡς ἄνθρωπος· σὺ γινώσκεις ἐν πολ-
λοῖς, καθὼς τὸ ἀνθρώπινον πάθος συμ-
βουλεύει. Κύριε ἀληθές ἐστιν, ὅπερ λέ-
γεις. μέριμνά σου ἡ περὶ ἐμοῦ, μεί-
ζων ὑπάρχει πάσης ἐπιμελείας, ἣν ἐ-
γὼ περὶ ἐμοῦ ποιεῖσθαι δύναμαι. ἄγαν
γὰρ τυχηρῶς ἵσταται, ὁ πᾶσαν τὴν μέ-
ριμναν αὐτοῦ ἐπί σε οὐκ ἐπιῤῥίπτων
Κύριε, εἴγε τὸ θέλημά μου εὐθὺ καὶ
βέβαιον πρός σε διαμένει, ποίησον
μετ' ἐμοῦ πᾶν ὅ,τι ἂν ἀρεστόν σοι γέ-
νηται. οὐ γὰρ δύναται εἶναι κακὸν, ὅτι-
οῦν μοι ποιήσεις.

---

β. Εἰ ἐν τῷ σκότει εἶναί με ἐθέλεις,
εὐλογήθητι, καὶ εἰ ἐν τῷ φωτὶ εἶναί με
ἐθέλοις, αὖθις εὐλογήθητι. εἰ παρα-
μυθεῖσθαί με ἀξιοῖς, εὐλογήθητι· καὶ εἰ
θλίβεσθαί με ἐθέλεις, ἀεὶ ὁμοίως

βιβ: γ. κεφ: ιζ. στιχ: β. α χ π γ. δ ταργ. α.

εὐλογήθητι. Τέκνον, οὕτω χρὴ ἔχειν σε, εἰ μετ' ἐμοῦ περιπατεῖν ἐπιθυμεῖς. οὕτω δεῖ σε πρόθυμον εἶναι εἰς τὸ πάσχειν, οὕτως ἀσμένως ἄπορος ἢ πένης εἶναι ὀφείλεις, ὡς εὔπορος ἢ πλούσιος. + ὥσπερ εἰς τὸ χαίρειν.

γ. Κύριε, ἡδέως ὑπὲρ σοῦ πείσομαι, ὁτιοῦν ἂν θελήσῃς μοι ἐπελθεῖν. ἀδιαφόρως ἀπὸ τῆς χειρός σου ἀποδέχεσθαι ἐθέλω τὸ κακὸν, καὶ τἀγαθὸν, τὸ γλυκὺ καὶ τὸ πικρὸν, τὸ περιχαρὲς, καὶ τὸ λυπηρὸν, καὶ ὑπὲρ πάντων συμβαινόντων μοι, εὐχαριστεῖν. φύλαξόν με ἀπὸ παντὸς κακοῦ, καὶ οὐδὲ τὸν θάνατον, οὐδὲ τὴν ᾅδην φοβηθήσομαι· μόνον μὴ εἰς αἰῶνα ἀποῤῥίψῃς με, μηδ' ἐκ τῆς βίβλου τῆς ζωῆς ἐξαλείψῃς. οὐ βλάψει με, ἥτισοῦν θλῖψις ἐπελεύσεταί μοι.

ε. β. Κεφ: ιη.

Ὅτι δεῖ τὰς προσκαίρους ταλαιπωρίας τῷ παραδείγματι τοῦ Χριστοῦ εὐκόλως ὑπομένειν.

α. Τέκνον, ἐγὼ ἐκ τοῦ οὐρανοῦ ὑπὲρ τῆς σωτηρίας σου κατέβην· τὰς ταλαιπωρίας σου οὐ τῆς ἀνάγκης, ἀλλὰ τῆς ἀγάπης ἑλκυσθεὶς ὑπεδεξάμην, ἵνα τὴν ὑπο-

μονὴν καταμάθῃς, καὶ τὰς προσκαί-
ρους ἀθλιότητας μὴ βαρέως ἐνέγκῃς.
ἀπὸ τῆς γὰρ ὥρας τῆς γεννήσεώς μου,
μέχρι τῆς τελευτῆς τῆς ἐν τῷ σταυρῷ,
οὐκ ἀπογέγονέ μου ἡ κακοπάθεια. τὴν
τῶν βιωτικῶν ἀπορίαν μεγάλην,
εἶχον. πολλῶν μέμψεων τῶν καθ᾿ ἐμοῦ
συχνῶς ἤκουσα. αἰσχύνας καὶ ὀνείδη εὐγνω-
μόνως ὑπέμεινα. ἀντὶ τῶν εὐεργετημά-
των τὴν ἀχαριστίαν ἀπέλαβον. ἀντὶ τῶν
θαυμάτων, τὰς βλασφημίας, ἀντὶ τῆς
διδαχῆς τὰς ἐπιτιμήσεις.

---

β. Κύριε, ὅτι σὺ ἐν τῷ βίῳ σου ἐκαρτέ-
ρησας, ἐν τούτῳ μάλιστα πληρώσας τὴν
ἐντολὴν τοῦ πατρός σου, ἐμοὶ κἀμὲ ἄθλι-
ον ἁμαρτωλὸν κατὰ τὴν βούλησίν σου ἀνε-
ξικακεῖν, καὶ ἕως ἂν αὐτὸς θελήσῃς, τὸ τῆς
φθαρτῆς ζωῆς βάρος ὑπὲρ τῆς σωτηρίας μου
βαστάζειν. καίτοι γὰρ τῆς βαρούσης ζω-
ῆς φορτικῆς αἰσθανόμεθα, ὅμως διὰ τῆς
σῆς χάριτος νῦν μεγαλομισθός ἐστι, καὶ τῷ
ὑποδείγματί σου, καὶ τοῖς τῶν ἁγίων σου
ἴχνεσι, τοῖς ἀσθενέσιν ἀνεκτοτέρα καὶ
λαμπροτέρα. πρὸς τούτοις καὶ πολλῷ
παρακλητικωτέρα ἐστὶ τῆς ἐν τῷ πάλαι
νόμῳ γενομένης, ὅτε ἡ τοῦ οὐρανοῦ πύλη
ἀποκεκλεισμένη διέμεινε. καὶ ἡ πρὸς

βιβ: γ. κεφ: ιη. στίχ: β. ἀχπγ. ἔτος. β.
τὸν οὐρανὸν ὅλως σκοτεινότερα ἐδόκει, οὕτως ὀλίγων περὶ τὸ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπιζητεῖν σπουδαζόντων. ἀλλ' οὐδὲ οἱ τότε δίκαιοι, καὶ τῆς σωτηρίας μέτοχοι τυγχάνοντες, πρὸ τοῦ πάθους σου, καὶ τῆς τοῦ ἁγίου θανάτου ἐκτίσεως τὴν οὐράνιον βασιλείαν εἰσελθεῖν ἐδύναντο.

---

γ. Ὡς πολλὴν χάριν ἀποδιδόναι σοι ὀφείλω, ἀνθ' ὧν εὐθεῖαν καὶ καλὴν ὁδὸν ἐμοὶ καὶ πᾶσι τοῖς πιστοῖς εἰς τὴν αἰώνιον βασιλείαν σου ἐπιδεῖξαι ἠξίωσας, ἡ γὰρ ζωή σου, ἡ ὁδὸς ἡμῶν· καὶ διὰ τῆς ἁγίας ὑπομονῆς σου προσερχόμεθά σοι, ὃς στέφανος ἡμῶν τυγχάνεις. εἰ μὴ σὺ ἡμᾶς προήγαγες καὶ ἐδίδαξας, τίς ἂν περὶ τοῦ ἀκολουθεῖν σοι ἐσπούδασε; φεῦ, ὅσοι μακρὰν ἂν καὶ ὀπίσω ἔμενον, εἰ μὴ εἰς τὰ περιφανῆ παραδείγματά σου ἀπέβλεπον; ἰδοὺ, ἔτι χλιαινόμεθα, τοσαῦτα σημεῖα καὶ διδαχάς σου ἀκούσαντες, τί ἂν ἐγένετο εἰ τηλικοῦτο φῶς εἰς τὸ ἀκολουθῆσαί σοι οὐκ εἴχομεν;

---

## Κεφ: ιθ.

Περὶ τοῦ φέρειν τὰς ὕβρεις, καὶ τίς ἀληθὴς ὑπομονητικὸς ἀποδείκνυται.

α. Τί ἐστιν, ὅ,τι λαλεῖς; λέγε τῆς μεμ-
ψιμοιρίας, τὸ πάθος μου καὶ τῶν ἄλλων
ἁγίων σκοπιῶν. οὔπω γὰρ μέχρις αἵμα-
τος ἀντικατέστης. μικρόν ἐστιν ὅ,τι σὺ
πάσχεις, πρὸς τοὺς τοσαῦτα ὑπομείναν-
τας, οὕτω δεινῶς πειρασθέντας, οὕτω βα-
ρέως θλιβέντας, καὶ πολλαπλασίως δο-
κιμασθέντας, καὶ ἀσκηθέντας. χρὴ τοίνυ-
ν σε τὰ δεινότερα τῶν ἄλλων ἐνθυ-
μεῖσθαι, ἵνα τὰ ἐλάχιστά σου κουφότερον
ὑπομείνῃς. καὶ εἰ ἐλάχιστά σοι οὐ δοκεῖ,
πρόσεχε, πότερον οὐ καὶ τούτου ἡ ἀνυπο-
μονησία σου αἰτία ἐστιν. ἀλλ' ὅμως εἴ-
τε μικρὰ, εἴτε μεγάλα γίνεται, πάν-
τα καρτερεῖν ἐπιχείρει.

---

β. Ὅσῳ ἂν βέλτιον εἰς τὸ παθεῖν σε κα-
ταστήσῃς, τοσούτῳ σοφώτερον πράττεις, καὶ
μείζονος μισθοῦ ἄξιος γίνῃ. ἔτι δὲ ῥᾷ-
ον ὑπομενεῖς τῇ ψυχῇ καὶ τῇ χρήσει εἰς
τοῦτο οὐκ ὀκνηρῶς παρασκευασθείς.
μὴ λέγε· οὐχ οἷός τ' εἰμὶ ταῦτα πά-
σχειν ὑπὸ τοιούτου ἀνθρώπου, οὐδὲ τοι-
αῦτά μοι ἀνεκτά ἐστι, δεινῶς γὰρ ἔ-
βλαψέ με, καὶ ὀνειδίζει μοι, ἃ μηδέ-
ποτε ἐνενόησα· ὑπ' ἄλλου δ' ἀσμένως
πείσομαι, καθάπερ ἂν κρίναι παθεῖν
κατίδω. τοιοῦτος ὁ λογισμὸς ἀνόητος
ἐστι, τὴν τῆς ὑπομονῆς ἀρετὴν ἀσοῦν

βιβ: γ. κεφ: ιθ. στιγμὴ β. αχπγ. ἔτ. αγ. β.

σκεπτόμενος, οὐδὲ ὑφ' οὗ ἐκείνη μέλλει στεφανωθήσεσθαι, ἀλλὰ μᾶλλον τοὺς ἀνθρώπους καὶ τὰς ὕβρεις αὐτῷ γενομένας ἐξετάζων.

---

γ. Οὐκ ἔστιν ἀληθινὸς ὑπομονητικός, ὁ μὴ θέλων παθεῖν, πλὴν ὅ,τι ἂν αὐτῷ δόξῃ, ἢ ὑφ' οὗ αὐτῷ ἀρέσῃ. ἀληθινὸς δὲ ὑπομονητικός, οὐ λογίζεται ὑπὸ τίνος ἀνθρώπου, πότερον ὑπὸ προεστῶτος αὐτοῦ, ἢ ὑπό τινος ἴσου, ἢ ἐλάττονος· πότερον ὑπὸ τοῦ ἀγαθοῦ, καὶ ἁγίου ἀνθρώπου, ἢ ὑπὸ πονηροῦ, καὶ ἀναξίου ἀσκεῖται. ἀλλ' ἀδιαφόρως ὑπὸ πάσης κτίσεως ὁποσονοῦν καὶ ὁποσάκις οὖν ἂν ἀτύχημά τι αὐτῷ συμβῇ, πᾶν τοῦτο ἀπὸ τῆς τοῦ θεοῦ χειρὸς εὐχαρίστως ἀποδεχόμενος, παμμέγεθες κέρδος ἡγεῖται· ὅτι μηδὲν παρὰ τῷ θεῷ, καίπερ ἐλάχιστον ὄν, εἴγε διὰ τὸν θεὸν ἐπάθομεν, ἄμισθον εἶναι δυνήσεται.

---

δ. Διόπερ ἕτοιμος ἔσο πρὸς τὸν πόλεμον, εἰ θέλεις τῆς νίκης ἐπιτυχεῖν. ἀπολέμως τοῦ τῆς ὑπομονῆς στεφάνου οὐ δύνῃ ἐφικέσθαι. εἰ παθεῖν οὐκ ἐθέλεις, ἀναίνῃ στεφανοῦσθαι. εἰ δὲ στεφανοῦσθαι ἐπιθυμεῖς, ἀγωνίσθητι ἀνδρείως, ὑπόμεινον μακροθύμως. ἀπόνως τῆς ἀναπαύσεως οὐκ ἐπιτεύξῃ, καὶ ἀπολέμως τὴν νίκην

οὐκ ἀεί. γενηθήτω κύριε δυνατόν μοι, διὰ τῆς χάριτος, ὅ,τι ἀδύνατόν μοι δοκεῖ τῆς φύσεως. σὺ οἶδας, ὅτι μικρὸν δύναμαι παθεῖν, καὶ ὅτι εὐθέως ἀθυμῶ, ἀτυχίας συμβαινούσης κούφης. γένοιτό μοι πᾶσα ἄσκησις τῆς θλίψεως ὑπὲρ τοῦ ὀνόματός σου, προσφιλὴς καὶ εὐκταία· ὅτι τὸ παθεῖν καὶ κακωθῆναι ὑπέρ σου, πάνυ σωτήριόν ἐστι τῇ ψυχῇ μου.

## Κεφ. κ.

Περὶ τοῦ ὁμολογεῖσθαι τὴν ἰδίαν ἀσθένειαν, καὶ τὰς ~~πο~~ ταλαιπωρίας τούτου τοῦ βίου.

α. Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου· ἐξομολογήσομαί σοι κύριε τὴν ἀσθένειάν μου. πολλάκις μικρόν ἐστι τὸ ἐμὲ καταβάλλον καὶ λυποῦν. προαιροῦμαι ἀνδραγαθεῖν, ἀλλὰ μικροῦ πειρασμοῦ ἐπερχομένου, σφόδρα στενοχωροῦμαι. εὐτελέστατόν ἐστί ποτε, ὅθεν δεινὸς πειρασμός μοι γίνεται· καὶ ὅτε ἐπὶ ποσὸν ἀσφαλῆ με εἶναι νομίζω, ἐκ κούφου πνοῆς ἡττηθέντα μέ ποτε εὑρίσκω, οὐκ αἰσθανόμενος.

β. Ἴδε τοίνυν, κύριε, τὴν ταπεινότητά μου, καὶ ἀσθένειάν μου τὴν πανταχόθεν σοι ἐγνωσμένην. ἐλέησον, καὶ σῶσόν με ἐκ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ, οὐ μὴ δια-

βιβ: γ. κεφ. κ. στιγμὴ β. αχπγ. ἔτους β.
τελῶ καταβληθεὶς ἕως σφόδρα. τοῦτ'
ἐστὶν, ὅπερ πολλάκις με ἐκπλήττει, καὶ
ἐνώπιόν σου καταισχύνει, ὅτι οὕτω σφα-
λερὸς, καὶ εἰς τὸ ἀντιστῆναι τοῖς παθή-
μασιν ἀσθενής εἰμι. καίτοι εἰ καὶ οὐ
πάντως συγκατατίθεμαι, ἀλλ' οὖν ὁ
διωγμὸς αὐτῶν ὀχληρὸς καὶ βαρὺς μοι
γίνεται, καὶ καθ' ἑκάστην οὕτω τῇ ἔρι-
δι ἐνδιάγειν σφόδρα κατοκνῶ. ἐκ τού-
του ἡ ~~ἀσθ~~ ἀσθένειά μου γνωρίζεταί μοι,
ὅτι αἱ βδελυκταὶ φαντασίαι πολλῷ
ῥᾷον ἀεὶ εἰσβάλλουσιν, ἢ ἀπέρχονται.

---

ε. γ.

γ. Εἴθε ἰσχυρότατε θεὸς τοῦ Ἰσραὴλ ζηλω-
τὰ τῶν ψυχῶν πιστῶν ἀπέβλεψες εἰς
τὸν πόνον καὶ τὴν ὀδύνην τοῦ δούλου σου,
καὶ παρίστασο αὐτῷ ἐν πᾶσιν, εἰς ἅπερ ἂν
στραφῇ. κραταίωσόν με τῇ ῥώσει ἐπ-
ουρανίῳ, ἵνα μὴ παλαιὸς ἄνθρωπος, ἡ
σχετλία σάρξ, τῷ πνεύματι οὔπω
παντελῶς ὑποταχθεῖσα, κυριεύειν
δυνηθῇ· πρὸς ἣν ἀγωνίζεσθαι δεήσει, μέ-
χρις ἂν ἐν τῷδε τῷ βίῳ ἀθλιωτάτῳ
πνεύσομεν. οἴμοι ποῖος οὗτος βίος ἐστὶν,
ὅπου αἱ θλίψεις καὶ ταλαιπωρίαι οὐκ
ἄπεισι, καὶ ὅπου τῶν παγίδων καὶ τῶν ἐχ-
θρῶν πάντα γέμει; μιᾶς γὰρ θλίψε-
ως ἢ πειρασμοῦ ἀπερχομένου, ἄλλος

προσέρχεται· ἀλλὰ καὶ τῆς προτέρας συμφορῆς ἔτι γινομένης, ἄλλαι πλείους καὶ ἀπροσδοκήτως ἐπέρχονται.

---

Ἐρ. Καὶ πῶς δυνατὸν, ταύτην τὴν ζωὴν, τοσαύτας πικρότητας ἔχουσαν, καὶ τηλικαύταις συμφοραῖς καὶ ταλαιπωρίαις ἔνοχον ἀγαπᾶσθαι; καὶ πῶς λέγεται βίος, ὁ τοσούτους θανάτους καὶ λοιμοὺς γέμων; ἀλλ᾽ ὅμως ἀγαπᾶται, καὶ πολλοὶ ἐν αὐτῷ τέρπεσθαι ἐπιποθοῦσι. ψέγεται συχνῶς ὁ κόσμος, ὡς ἀπατηλὸς καὶ μάταιος ὢν, ἀλλὰ μὴν οὐ ῥᾳδίως καταλείπεται, ὅτι αἱ ἐπιθυμίαι τῆς σαρκὸς ἄγαν κυριεύουσι. καίτοι τὰ μὲν εἰς τὸ αὐτὸν φιλεῖν, τὰ δὲ εἰς τὸ αὐτοῦ καταφρονεῖν ἕλκει. εἰς τὴν ἀγάπην τοῦ κόσμου ἑλκύουσιν, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου. αἱ δὲ ποιναὶ καὶ ταλαιπωρίαι αἱ αὐτοῦ ἀκολουθοῦσαι τὸ τοῦ κόσμου μῖσος καὶ ἀπέχθειαν ἐμποιοῦσιν.

---

Ἀπ. Οὐ μὴν ἀλλὰ, ἀεὶ ἡ πονηρὰ τέρψις τῆς ψυχῆς τῆς τῷ κόσμῳ προσκειμένης περιγίνεται, καὶ τὸ ταῖς αἰσθήσεσιν ὑποτάττεσθαι, τρυφὴν νομίζει, ὅτι τὴν τοῦ θεοῦ χρηστότητα, καὶ τὸ ἔσω κάλλος τῆς ἀρετῆς, οὐκ ἔβλεψεν, οὐδ᾽ ἐγεύσατο. οἱ δὲ τοῦ κόσμου ὅλως ὀλιγωροῦντες, καὶ τῷ θεῷ ὑπὸ

βιβ: γ. κεφ: κ. στιγμὴ ε. ἀρχ. τγ. ς, ταρ. γ.
τῇ ἁγίᾳ παιδεύουσι ζῆν ἐπιχειροῦντες, διὰ
θείαν ἡδύτητα τὴν τοῖς ἀληθέσιν ἀπο-
τάκταις ἐπαγγελθεῖσαν οὐκ ἀγνοοῦσι, καὶ
ὡς δεινῶς ὁ κόσμος πλανᾶται, καὶ ποικί-
λως ἐξαπατᾶται, σαφέστερον γινώσκουσι.

---

κεφ. κα.

α. Ὅτι ἐν τῷ θεῷ ὑπὲρ πάντα ἀγαθὰ καὶ
δῶρα ἀναπαύεσθαι δεῖ.

Ὑπὲρ πάντα καὶ ἐν πᾶσιν, ψυχή μου, ἐν τῷ
κυρίῳ ἀεὶ ἀναπαύσῃ, ὅτι αὐτός ἐστιν αἰ-
ώνιος ἀνάπαυσις. δός μοι ἡδύτατε καὶ
προσφιλέστατε Ἰησοῦ ἐν σοὶ ὑπὲρ πᾶσαν
κτίσιν ἀναπαύεσθαι, ὑπὲρ πᾶσαν σωτη-
ρίαν καὶ κάλλος, ὑπὲρ πᾶσαν δόξαν καὶ τι-
μὴν, ὑπὲρ πᾶν κράτος καὶ ἀξίωμα, ὑπὲρ
πᾶσαν ἐπιστήμην καὶ ἀγχίνοιαν, ὑπὲρ πάν-
τα πλοῦτον καὶ τέχνας, ὑπὲρ πᾶσαν εὐ-
φροσύνην καὶ ἀγαλλίασιν, ὑπὲρ πᾶσαν
φήμην, καὶ ἔπαινον, ὑπὲρ πᾶσαν ἡδύτη-
τα καὶ παραμυθίαν, ὑπὲρ πᾶσαν ἐλ-
πίδα καὶ ἐπαγγελίαν, ὑπὲρ πᾶσαν ἀξί-
αν καὶ ἐπιθυμίαν, ὑπὲρ πάντα δῶρα
καὶ γέρατα, ἅτινα δύνῃ διδόναι καὶ ἐγχέ-
ειν, ὑπὲρ πᾶσαν χαρὰν καὶ ἀλάλαξιν,
ἥνπερ ὁ νοῦς ἀνθρώπειος δύναται χωρεῖν
καὶ αἰσθάνεσθαι. τέλος δὲ ὑπὲρ ἀγγέλους
καὶ ἀρχαγγέλους, καὶ ὑπὲρ πᾶσαν στρατιὰν

τοῦ οὐρανοῦ· ὑπὲρ πάντα ὁρατὰ καὶ
ἀόρατα, καὶ ὑπὲρ πᾶν, ὅτι σὺ ὁ θεὸς
μου οὐκ εἶ. 117

β. Ὅτι σὺ κύριε ὁ θεός μου, πάντων βέλ-
τιστος τυγχάνεις· σὺ μόνος ὕψιστος, σὺ
μόνος δυνατώτατος, σὺ μόνος αὐταρ-
κέστατος καὶ πληρέστατος, σὺ μόνος ἥδιστος
καὶ παρακλητικώτατος· σὺ μόνος κάλλιστος
καὶ φίλτατος· σὺ μόνος εὐγενέστατος καὶ
ὑπὲρ πάντα ἐνδοξότατος, ἐν ᾧ πάντ᾽ ἀγα-
θὰ ἅμα καὶ τελείως ἐστι, καὶ ἀεὶ ἐγένετο
καὶ ἔσται· καὶ διὰ τοῦτο ἧττον καὶ ἔλαττόν ἐστιν,
ὅτιοῦν, πλὴν σεαυτοῦ, δώσῃς μοι, ἢ περί
σου ἀποκαλύπτεις, ἢ ἐπαγγέλλεις, σοῦ
οὐχ ἑωραμένου, καὶ κατειλημμένου.
ἡ γὰρ καρδία μου οὐ δύναται ἀληθῶς
ἡσυχάζειν ἢ παντελῶς ἀρκεῖσθαι, ἐὰν μὴ
ἐν σοὶ ἀναπαύηται, πάντα τε δῶρα καὶ πᾶ-
σαν κτίσιν ὑπερβαίνῃ.

γ. Ὦ προσφιλέστατε νυμφίε μου Ἰησοῦ Χρι-
στέ, ἐραστὰ καθαρώτατε, δέσποτα πάσης
κτίσεως· τίς δώσει μοι πτέρυγας ἀληθοῦς
ἐλευθερίας τοῦ πετᾶσθαι καὶ διαπαύεσθαι
ἐν σοί; πότε ἀφθόνως συγχωρηθήσεταί
μοι σχολάσαι καὶ ἰδεῖν, ὡς χρηστὸς εἶ κύ-
ριε ὁ θεός μου; πότε ἐκπλέως συλλέξω
με ἐν σοί, ἵνα ὑπὸ τῆς ἀγάπης σοῦ, οὐκ αἰσθω-
μαί με, ἀλλὰ σοῦ μόνου ὑπὲρ πᾶσαν αἴσθη-
σιν καὶ τρόπον, τῷ τρόπῳ οὐ πᾶσιν ἐγνωσ-

βιβ: γ΄. κεφ: κα΄. στιχ: γ΄. α χ π γ. ς ταςγ. γ.
μένω; νυνὶ δὲ πολλάκις στενάζω, καὶ τὴν
ἀτυχίαν μου ὀδυρόμενος βαστάζω.
ὅτι πολλὰ κακὰ ἐν τῇδε τῇ κοιλάδι τῶν
ταλαιπωριῶν συμβαίνει, ἅτινά με
πλεονάκις ταράττει, λυπεῖ, καὶ νεφοῖ·
πλεονάκις ἐμποδίζει καὶ διασπᾷ, ἐπά-
γει καὶ ἐμπλέκει, ἵνα μὴ ἀδεῶς προσ-
έλθω σοι, οὐδὲ τῶν ἡδονῶν περιπλυχῶν
ἀπολαύσω, τοῖς μακαρίοις πνεύμασιν
ἀεὶ παρόν. κινήσαι σε ὁ στεναγμός μου,
καὶ πολλαπλασία ἐρημία ἡ ἐπὶ τῆς γῆς.

δ΄. Ὦ Ἰησοῦ ἀπαύγασμα τῆς αἰωνίου δόξης,
παραμυθία τῆς ἀποδημούσης ψυχῆς·
παρὰ σοὶ τὸ στόμα μου ἄφωνόν ἐστι, καὶ
ἡ σιγή μου λαλεῖ σοι. ἕως πότε βραδύνει
ὁ κύριός μου τοῦ ἐλθεῖν; προσέλθοι μοι
πενιχρῷ δούλῳ αὐτοῦ, καὶ εὐφράναι. βάλοι
τὴν χεῖρα αὐτοῦ, καὶ ῥύσαιτο τὸν ἄθλιον
ἐκ πάσης στενοχωρίας. ἐλθὲ, ἐλθὲ, ὅτι
ἄνευ σοῦ μηδεμία ἡμέρα, ἢ ὥρα φαι-
δρά ἔσται, ὅτι σὺ ἡ εὐφροσύνη μου· καὶ χω-
ρὶς σοῦ, κενά ἐστιν ἡ τράπεζά μου. ἄθλι-
ός εἰμι, καὶ εἱργμένος πως, καὶ ἐμπε-
πεδημένος, ἕως ἂν τῷ φωτὶ τῆς παρου-
σίας σου ἀναπαύσῃς με, καὶ ἐλευθερώσῃς,
~~τῷ φωτὶ τῆς παρουσίας σου ἀναπαύσῃς με,~~
~~καὶ ἐλευθερώσῃς~~ τὸ πρόσωπον φιλικὸν
ἐπιδεικνύων.

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg

ζ. β. στιγμὴ ε. Ζητησάτωσαν ἄλλοι ἄλλο ἀντί σου, ὅτι οὖν ἂν δόξῃ· ἐμοὶ μεταξὺ μηδὲν ἄλλο οὐκ ἀρέσκει, οὐδ' ἀρέσει, εἰ μὴ σὺ ὁ θεός μου, ἐλπίς μου, σωτηρία αἰώνιος. οὐ σιωπήσω, οὐδὲ λήξω δεόμενος, ἕως ἂν ἡ χάρις σου ἀναστρέψῃ, καὶ σὺ ἔσω μοι λαλήσῃς· ἰδοὺ ἐγὼ παρὰ σοί ὅτι ἐπεκαλέσάς με. τὰ δάκρυά σου, καὶ ἡ ἐπιπόθησις τῆς ψυχῆς σου, καὶ ἡ σύντριψις τῆς καρδίας ἐξέκλινόν με, καὶ προσήγαγόν με σοι. καὶ εἶπα· κύριε ἐκάλεσά σε, καὶ ἐπεθύμησα ἀπολαύειν σου, ἕτοιμος ὢν πάντα διά σε ἀποπτύειν. σὺ γὰρ πρότερον ἐμὲ ἐξήγειρας, ὅπως σε ζητήσω. εὐλογήθητι οὖν, κύριε, ὁ ταύτην τὴν χρηστότητα ποιήσας, μετὰ τοῦ δούλου σου, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

---

5. Τί ἔχει ἔτι λέγειν ὁ δοῦλός σου ἐνώπιόν σου, εἰ μὴ ἵν' ἀεὶ σφόδρα ταπεινώσῃ αὐτὸν ἔμπροσθέν σου, τῆς ἰδίας ἀνομίας, καὶ εὐτελείας πάντοτε ἀναμνησθείς; οὐ γάρ ἐστιν ὅμοιός σοι, ἐν πᾶσι θαυμασίοις τοῦ οὐρανοῦ καὶ τῆς γῆς. τὰ ἔργα σου καλὰ λίαν ἐστί, τὰ κρίματα ἀληθῆ, καὶ τῇ προνοίᾳ σου διοικεῖται πάντα. αἶνος οὖν σοι καὶ δόξα, ὦ σοφία τοῦ πατρός· σὲ αἰνῆσαι καὶ εὐλογῆσαι στόμα μου, ἡ ψυχή μου, καὶ ἅμα πάν-

βιβ. γ'. κεφ. κα'. στιγμὴ ς'. ἄχρι παρ. ζ'. τὰ λ-
τὰ κτισθέντα.

## Κεφ. κβ'.

η. ε.

### Περὶ τοῦ ἀναμνησθῆναι τῶν πολλαπλασίων εὐεργετημάτων τοῦ θεοῦ.

α. Ἄνοιξον κύριε τὴν καρδίαν μου ἐν νόμῳ σου, καὶ ἐν ταῖς ἐντολαῖς σου δίδαξόν με περιπατεῖν. δός μοι γνῶναι τὸ θέλημά σου, καὶ μετὰ μεγάλης ἐντροπῆς, καὶ ἀκριβοῦς διασκέψεως [τίων] τῶν εὐεργετημάτων σου, γενικῶς καὶ μερικῶς ἀναμνησθῆναι· ἵν' οἷός τε γένωμαι ὑπὲρ τούτων σοι ἀξίως εὐχαριστεῖν. οὐ μὴν ἀλλὰ γινώσκω καὶ ὁμολογῶ, ὅτι δὲ ὑπὲρ ἐλαχίστης στιγμῆς ὀφειλομένην χάριν ἔχειν δύνασθαι. ἐλάττων εἰμὶ πάντων ἀγαθῶν, ἅτινα ἐμοὶ ἐποίησας· καὶ ἐν τῷ σκέπτεσθαί με τὸ ἀξίωμά σου, ἐκλείπει ὑπὸ τοῦ μεγέθους τὸ πνεῦμά μου.

---

β. Πάντα ἅπερ ἐν τῇ ψυχῇ καὶ τῷ σώματι ἔχομεν, καὶ πάντα ὅσα ἔξω, ἢ ἔσω φυσικῶς ἢ [ὑπερ] μεταφυσικῶς κτώμεθα, σὰ εὐεργετήματά ἐστι, καὶ εὐεργετικόν, εὔσπλαγχνον, καὶ ἀγαθὸν ὄντα σε, ἐπαινοῦσι, παρὰ σοῦ πάντ' ἀγαθὰ ἐλάβομεν. εἰ καὶ

ὁ μὲν πλείω, ὁ δ' ἐλάττω ἔλαβεν, ὅμως πάντα σά ἐστι, καὶ ἄνευ σοῦ οὐδ' ἐλάχιστον ἔχειν δύναται. ὁ μείζω λαβών, οὐκ εἰκότως τῇ ἀξίᾳ αὐτοῦ καυχᾶσθαι δύναται, οὐδὲ ὑπὲρ τοὺς ἄλλους ἐπαίρεσθαι, οὐδὲ τῷ ἐλάττονι ἐπιγελᾶν· ὅτι οὗτος μείζων καὶ βελτίων, ὃ ἧττον ἑαυτῷ ἀνατίθησι, καὶ ἐν τῷ εὐχαριστεῖν ταπεινότερος, καὶ εὐλαβέστερός ἐστι. καὶ ὁ ἑαυτὸν πάντων εὐτελέστερον ἡγούμενος καὶ ἀναξιότερον νομίζων, εἰς τὸ τὰ μείζω ἀπολαβεῖν ἑτοιμότερος ὑπάρχει.

ζ. Ὁ δ' ἐλάττω ἀπολαβὼν οὐ λυπεῖσθαι, οὐδὲ δυσχεραίνειν, οὐδὲ τῷ πλουσιωτέρῳ φθονεῖν, ἀλλά σοι μᾶλλον προσέχειν, καὶ τὴν χρηστότητά σου μάλιστα ἐπαινεῖν ὀφείλει, ὅτι οὕτως εὐπόρως, οὕτω δωρεὰν καὶ ἀσμένως καὶ ἀπροσωπολήπτως τὰ δῶρά σου χαρίζῃ. πάντα ἐκ σοῦ ἐστι, διόπερ ἐν πᾶσιν ἐπαινετὸς τυγχάνεις. σὺ οἶδας, τί ἂν ἑκάστῳ δίδοσθαι συμφέρει· καὶ διὰ τί ὁ μὲν ἧττον, ὁ δὲ μεῖζον ἔχει, οὐχ ἡμῶν, ἀλλὰ σοῦ ἐστι τοῦτο διαγινώσκειν, παρ' ᾧπερ αἱ ἀξίαι ἑκάστων ὡρίσθησαν.

η. Διὰ τοῦτο, κύριε ὁ θεός, μεγάλην εὐ-

ἐ[illegible] ἥγημαι, οὐ πολλὰ ἔχειν ἐξ
ῶν ἔξω, καὶ κατὰ τοὺς ἀνθρώπους ὁ ἔπαι-
νος καὶ ἡ δόξα φαίνεται· ὥστε τὴν πε-
νίαν καὶ εὐτέλειαν ἰδίαν τις διεφράσμε-
νος μὴ μόνον οὐδεμίαν βαρύτητα, ἢ
λύπην, ἢ ἀθυμίαν ἐκεῖθεν συλλαμβά-
νει, ἀλλὰ μᾶλλον παραμυθίαν καὶ
μεγάλην ἱλαρότητα· ὅτι σὺ ὁ θεὸς τοὺς
πένητας καὶ ταπεινοὺς, καὶ τοὺς τῷ κόσμῳ
καταπεφρονήτους εἰς συνήθεις καὶ οἰκείους
σοι ἐξελέξω. τοῦτο αὐτοὶ ἀπόστολοί
σου μαρτυροῦσιν, οὓς ἐπὶ ~~πᾶσαν~~ πᾶσαν τὴν
γῆν ἄρχοντας κατέστησας. ἀλλ' ὅμως
ἄμεμπτοι ἐν τούτῳ τῷ κόσμῳ ἀνεστρά-
φησαν, οὕτω ταπεινοὶ καὶ ἁπλοῖ, ἀκακοί
τε καὶ ἄδολοι ὄντες, ὥστε καὶ ἐπὶ τῷ ἀτι-
μασθῆναι ὑπὲρ τοῦ ὀνόματός σου χαίρειν,
καὶ ἅτινα ὁ κόσμος μυσάττεται, αὐτοὺς
σὺν μεγάλῃ ἐπιθυμίᾳ ἀποδέξασθαι.

---

‚+ οὕτως εὐφραίν. 5. ναι δεῖ, ὥσπερ +

ε. Μηδὲν οὖν τὸν φιλητήν σου καὶ γνώστην τῶν
εὐεργεσιῶν σου + καὶ ἡ εὐδοκία τῆς αἰωνίου δια-
τάξεώς σου· ἥτινι τοσοῦτον στέργειν, καὶ παρα-
καλεῖσθαι ὀφείλει, ἵν' οὕτως ἀσμένως βου-
ληθῇ εἶναι ἐλάχιστος, ὡς ἄλλος ἂν εὔξαι-
το εἶναι μέγιστος, καὶ οὕτως εἰρηνεύων,
+ τὸ θέλημά σου τὸ ἐν ~~αὐτῷ~~ αὐτῷ

ἢ ἀγαπήσῃ τῷ ἐσχάτῳ τόπῳ, ὡς τῷ πρώτῳ· ἢ οὕτως ἡδέως παρεωραθεὶς καὶ καταβεβλημένος, ἀκλεής τε καὶ ἄσημος, ὡς τῶν ἄλλων ἐντιμότερος καὶ μείζων ἐν τῷ κόσμῳ. τὸ γὰρ θέλημά σου, καὶ ἀγάπη τῆς τιμῆς σου πάντα ὑπεραίρειν ὀφείλει, καὶ μᾶλλον παραμυθεῖσθαι αὐτὸν καὶ περισσῶς ἀρέσκειν, ἢ πάντα εὐεργετήματα αὐτῷ δοθέντα, ἢ δοθησόμενα.

---

## Κεφ. κγ.

### Περὶ τεσσάρων τῶν μεγάλων εἰρήνην παρεχόντων.

α. Τέκνον, νυνὶ τὴν τῆς εἰρήνης καὶ ἀληθινῆς ἐλευθερίας ὁδόν σε διδάξω. ποίησον κύριε ὃ λέγεις, ὅτι τοῦτο ἀκούειν εὐπρόσδεκτόν μοι ἐστί. σπούδαζε τέκνον, ὅπως μᾶλλον ποιήσῃς τὸ θέλημα τοῦ ἄλλου, ἢ τὸ σοῦ. μᾶλλον ἀεὶ προαιροῦ ἧττον, ἢ πλεῖον ἔχειν. ζήτει ἀεὶ τὸν κατώτερον τόπον, καὶ πᾶσιν ὑποτάττεσθαι. εὔχου ἀεὶ καὶ δέου, τὸ τοῦ θέλημα θεοῦ ὅλως ἐν σοὶ γίνεσθαι. ἰδοὺ τοιοῦτος ἄνθρωπος εἰς τὰ τῆς εἰρήνης καὶ ἀναπαύσεως ὅρια εἰσέρχεται.

---

β. Κύριε οὗτος ὁ λόγος σου βραχὺς ὢν πολλὴν τελειότητα συνέχει. μικρὸς μὲν ἐστὶ τὴν λέξιν πλήρης δὲ τῆς νοήσεως, καὶ

βιβ: γ. κεφ: κγ. στιχ. μὴ β. α χπγ. θ τας. 5.
πολύκαρπος. εἰ γὰρ ἐπ' ἐμοῦ πιστὸς
περιέστασθαι ἠδύνατο, οὐκ ἂν ἔδει οὕτω σφο-
δρῶς ταραχὴν μοι γίνεσθαι. ὁσάκις γὰρ
ὀχλούμενος καὶ βασανιζόμενος αἰσθάνο-
μαι, ταύτης τῆς διδαχῆς μεταπελθεῖν
γινώσκω. ἀλλὰ σὺ ὁ πάντα ἰσχύων, καὶ
τὴν τῆς ψυχῆς ἐπίδοσιν πάντοτε ἀγα-
πῶν, τὴν χάριν μᾶλλον αὔξησον, ἵνα
τὸν λόγον σου πληρῶσαι, καὶ τὴν σωτη-
ρίαν μου ἐπιτελέσαι δυνηθῶ.

---

Εὐχὴ κατὰ τῶν κακῶν
διανοιῶν.

γ. Κύριε ὁ θεός μου μὴ μακρύνῃς ἀπ' ἐ-
μοῦ. ὁ θεός μου, εἰς τὴν βοήθειάν μου ἀπό-
βλεψον. ὅτι ἐπανέστησαν ἐπ' ἐμὲ ποικί-
λαι διάνοιαι, καὶ μεγάλοι φόβοι, ἐκθλίβον-
τες τὴν ψυχήν μου. πῶς διελεύσομαι
ἀβλαβής; πῶς αὐτοὺς διαρρήξω; ἐγώ, φη-
σὶν, ἔμπροσθέν σου πορεύσομαι, καὶ τοὺς ἐν-
δόξους τῆς γῆς ταπεινώσω. ἀνοίξω τὰς
θύρας τῆς φυλακῆς, καὶ τὰ ἀπόρρητα τῶν
μυστηρίων ἀποκαλύψω σοι. ποίησον κύ-
ριε, ὡς λαλεῖς, καὶ φυγέτωσαν ἀπὸ προ-
σώπου σου πᾶσαι ἄνομοι διάνοιαι.
αὕτη ἡ ἐλπὶς, καὶ μία παραμυθία μου
πρὸς σὲ ἐν πάσῃ θλίψει καταφεύγειν,

σοὶ πεποιθέναι, σὲ δὲ ἐκ καρδίας
ἐπικαλεῖν, καὶ ὑπομονητικῶς τὴν παρα-
μυθίαν σοῦ προσδοκᾶν.

Εὐχὴ ὑπὲρ τοῦ φωτισμοῦ τοῦ νοῦ.

δ. Λάμπρυνόν με ἀγαθὲ Ἰησοῦ, λαμ-
πρότητι τοῦ ἔσω φωτός, καὶ ἔκβαλλε ἐκ
τοῦ οἰκήματος τῆς καρδίας μου πᾶν τὸ
σκότος. κάτεχε τὰς πολλὰς παρεκβά-
σεις, καὶ ἐξέκλυνε τοὺς βιάζοντας πει-
ρασμοὺς, ἰσχυρῶς ὑπερμάχου μου, καὶ πο-
λέμει τὰ κακὰ θηρία, ἐπιθυμίας
λέγω δελεαστικὰς, ὅπως ἡ εἰρήνη γέ-
νηται ἐν τῇ δυνάμει σου, καὶ ἡ εὐφημία
τοῦ ἐπαίνου σου ἠχῇ ἐν τῇ ἁγίᾳ αὐλῇ, τοῦτ'
ἔστιν ἐν καθαρᾷ συνειδήσει. ἐπιτίμα
τοῖς ἀνέμοις, καὶ τοῖς χειμῶσι. λέγε
τῇ θαλάσσῃ, ἀναπαύου, καὶ τῷ βορέᾳ,
μὴ πνέῃς, καὶ ἔσται μεγάλη γαλήνη.

ε. Ἐξαπόστελλε τὸ φῶς σου, καὶ τὴν ἀ-
λήθειαν, τοῦ λάμπειν ἐπὶ τῆς γῆς.
ὅτι ἐγώ εἰμι γῆ κενὴ καὶ ἀργὴ, ἕως ἂν
φωτίσῃς με. ἔκχεε ἄνωθεν τὴν χάριν.
διάχεε τὴν καρδίαν μου τῇ ἐπουρανίῳ
δρόσῳ· παρέχε τὰ τῆς εὐλαβείας
ὕδατα, εἰς τὸ καταβρέχειν τὸ πρό-
σωπον τῆς γῆς, καὶ εἰς τὸ καλῶς καὶ ἀγα-
θῶς καρποφορεῖν. ἆρον τὴν διάνοιαν

βιβ: γ. κεφ: κγ. στιγμὴ ε. α χπγ. ι παρ: ζ.

τῷ τῶν ἁμαρτιῶν βάρει πιεζομένην, καὶ ὅλον πόθον μου εἰς τὰ οὐράνια ὕψωσον, ὥστε τῆς γλυκύτητος τῆς ἄνω μακαριότητος γευσάμενος καταφρονήσῃ περὶ τῶν τῆς γῆς ἐννοιῶν.

5. Ἅρπαξόν καὶ ἐξελοῦ με ἀπὸ πάσης ἀσταθοῦς παραμυθίας τῶν κτισμάτων· ὅτι οὐδὲν κτίσμα τὴν ὄρεξίν μου ἐκπλέως κορεῖν, καὶ παρακαλεῖν δύναται. σύναψον ἐμέ σοι ἀχωρίστῳ δεσμῷ τῆς ἀγάπης, ὅτι σὺ μόνος ἀρκεῖς τῷ ἀγαπῶντι, καὶ χωρὶς σοῦ πάντα φλυαρά ἐστι.

ζ. Κεφ: κδ.

Περὶ τοῦ διαφεύγειν τὴν περίεργον ἐξέτασιν τοῦ βίου τοῦ ἄλλου.

ά. Τέκνον, μὴ πολυπραγμόνει, μηδὲ ματαίως φρόντιζε. τί τοῦτο ἢ ἐκεῖνο πρός σε; σὺ ἀκολούθει μοι· τί γὰρ πρός σε, πότερον ἐκεῖνος τοιοῦτος ἢ τοιοῦτός ἐστιν· ἢ οὗτος οὕτω καὶ οὕτω πράττει, ἢ λαλεῖ; οὐ χρή σε ὑπὲρ ἄλλων ἀποκρίνεσθαι, ἀλλὰ περὶ σεαυτοῦ τὸν λόγον ἀποδώσεις. διὰ τί οὖν ἐμπλέκῃ; ἰδοὺ ἐγὼ πάντας γινώσκω, καὶ πάντα τὰ ὑπὸ τὸν ἥλιον γινόμενα βλέπω· καὶ ὅπως

πῶς ἕκαστος ἔχει, τί ἐννοεῖ, τί βούλεται, καὶ εἰς τί ἡ προαίρεσις αὐτοῦ συντείνει. διὸ πάντα δεῖ σε ἐπιτρέπειν μοι· σὺ δὲ καλῶς εἰρήνευε, καὶ ἔα τὸν πολυπραγμοῦντα πράττειν, ὅσον ἂν ἐθελήσῃ. ἐπελεύσεται αὐτῷ πᾶν ὅ,τι ἂν ποιήσῃ ἢ λέξῃ, ὅτι ἐμὲ ἐξαπατᾶν οὐ δύναται.

---

β. Μὴ μελέτω σοι τῆς σκιᾶς τῆς ἐνδοξίας, μηδὲ τῆς τῶν πολλῶν οἰκειότητος, μηδὲ τῆς ἰδίας ἀγάπης τῶν ἀνθρώπων. ταῦτα γὰρ περισπασμοὺς, καὶ μεγάλους σκοτασμοὺς τῇ καρδίᾳ ἐμποιεῖ. ἀσμένως ἂν ἐλάλουν σοι τὸν λόγον μου, καὶ τὰ κεκρυμμένα ἀπεκάλυπτον, εἰ τὴν ἄφιξίν μου ἐπιμελῶς ἐτήρεις, καὶ τὴν θύραν τῆς καρδίας μοι ἤνοιγες. ἔσο πρόνους, καὶ γρηγόρει ἐν ταῖς προσευχαῖς, καὶ ἐν πᾶσι ταπεινώθητι.

---

## Κεφ: κε.

### Ἐν τίσι βεβαία εἰρήνη τῆς καρδίας, καὶ ἡ ἀληθινὴ ἐπίδοσις κεῖται.

α. Τέκνον, ἐγὼ ἐλάλησα. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. οὐ καθὼς ὁ κόσμος δίδωσιν ἐγὼ δίδωμι ὑμῖν. τὴν μὲν εἰρήνην πάντες ἐπιποθοῦσι, τῶν δὲ πρὸς

βιβλ. κεφ. κε΄. στιγμὴ ά. ἀκηγ. ια΄ παρ. α.
τῶν ἀληθινὴν εἰρήνην διαφερόντων οὐ πάν-
τες ἐπιμελοῦνται. ἡ εἰρήνη μου με-
τὰ τῶν ταπεινῶν καὶ πρᾴων τῇ καρδίᾳ.
ἡ εἰρήνη σου ἔσται ἐν τῇ πολλῇ ὑπομο-
νῇ. ἐὰν μου ἀκούσῃς, καὶ τῇ φωνῇ μου ἀκο-
λουθήσῃς, πολλῆς εἰρήνης ἀπολαύειν δυ-
νήσῃ. τί οὖν ποιήσω; ἐν πᾶσιν ἐπέχεσθαι,
τί ἂν ποιήσῃς καὶ τί λέξῃς· καὶ πᾶσαν τὴν
προαίρεσιν σου πρὸς τοῦτο κατεύθυνε,
ἵνα μόνῳ μοι ἀρέσῃς, καὶ ἔξω μου μη-
δὲν ποθήσῃς ἢ ζητήσῃς. ἔτι δὲ τοὺς λό-
γους, ἢ τὰ ἔργα τῶν ἄλλων μὴ εἰκῇ κρῖνε,
μηδ' εἰς τὰ πράγματα ἅπερ οὐκ ἐπι-
στεύθης, ἐμπλέχθητι· καὶ ἐνδέχεται,
μικρὸν ἢ σπανίως σε διαταράττεσθαι.

---

β. Μηδενὸς δὲ ταραγμοῦ πώποτε αἰσθάνε-
σθαι, καὶ μηδεμίαν λύπην τῆς καρδίας, ἢ
τοῦ σώματος πάσχειν, οὐ τοῦ παρόντος
χρόνου, ἀλλὰ τῆς καταστάσεως τῆς αἰωνίου
ἀναπαύσεώς ἐστι. μὴ οὖν νόμιζε τὴν
ἀληθινὴν εἰρήνην εὑρεῖν, εἰ μηδεμι-
ᾶς βαρύτητος αἰσθάνῃ, μηδὲ τότε πάντα
καλῶς ἔχειν, εἰ μηδένα ἀντίδικον πά-
σχεις· μηδὲ ταύτην εἶναι τελειότητα,
εἰ πάντα κατὰ τὴν γνώμην σου γίνεται,
μηδὲ τότε μέγα φρόνει, ἢ ἰδίως ἀγα-
πητὸν εἶναι ἡγοῦ, εἰ μεγάλης εὐλαβείας

καὶ ἡδύτητος ἀπόλαυσις· ὅτι ἐκ τούτων οὐ γινώσκεται ὁ ἀληθῶς ὢν φιλάρετος· οὐδὲν ἐν τούτοις ἡ προκοπὴ καὶ τελειότης τοῦ ἀνθρώπου κρέμαται.

---

χρῆσις

γ. Ἐν τίνι οὖν; ἐν τῷ προσφέρειν σε τῇ θείᾳ βουλήσει ἐξ ὅλης τῆς καρδίας σου, οὐ ζητοῦντα τὰ σά, οὐδὲν ἐν μικρῷ, οὐδ' ἐν μεγάλῳ, οὐδ' ἐν χρόνῳ, οὐδ' ἐν ἀϊδιότητι. ὥστε ἐν τῇ τε εὐτυχίᾳ καὶ τῇ ἀτυχίᾳ ἰσοπροσωπικῶς εὐχαριστοῦντα διατελεῖν, καὶ πάντα ἰσορρόπως σταθμᾶσθαι. εἰ ἔσῃ οὕτως ἀνδρεῖος καὶ μακρόθυμος ἐν τῇ ἐλπίδι, ἵνα τῆς ἐσωπαρακλήσεως ἀφαιρεθείσης, καὶ εἰς τὸ δεινότερα παθεῖν τὴν καρδίαν σου ἑτοιμάσῃς, οὐδὲ σεαυτὸν ὡς ταῦτα καὶ τοιαῦτα ὑπομένειν ὀφείλοντα δικαιώσῃς, ἀλλ' ἐν πάσαις διαθέσεσιν ἐμὲ δικαιώσῃς, καὶ ἅγιον εὐλογήσῃς· τότε ἐν τῇ ἀληθινῇ καὶ εὐθείᾳ ὁδῷ τῆς εἰρήνης πορεύῃ, καὶ ἀναμφισβήτητος ἐλπὶς ἔσται τὸ πρόσωπόν μου πάλιν ἐν ἀλαλαγμῷ σε βλέψειν. καὶ δ' εἰς τὴν τελείαν καταφρόνησιν σεαυτοῦ ἔλθῃς, γίνωσκε, ὅτι τότε τὴν ἄφθονον εἰρήνην καρπώσῃ καθ' ὅσον γε οἷόν τε ἐν τῇ παροικίᾳ σου.

---

Κεφ: κϛ.

**Περὶ τῆς ὑπεροχῆς τοῦ νοῦ ἐλευθέρου, ἣν ἡ ἱκετικὴ προσευχὴ μᾶλλον ἀξιοῦται, ἢ ἡ ἀνάγνωσις.**

α. Κύριε, τόδε τὸ ἔργον τοῦ ἀνδρὸς τελείου, μηδέποτε τὸν νοῦν ἀπὸ σκοποῦ τῶν οὐρανίων χαλάσαι, καὶ μεταξὺ πολλῶν φροντίδων ὡς ἀφρόντιδα διελθεῖν, οὐ μὲν τοῦ ὀκνοῦντος δίκην, ἀλλὰ προνομίᾳ τινὶ τῆς ἐλευθέρας διανοίας, τῷ μηδεμιᾷ κτίσει ἀτάκτως συναφθῆναι.

---

β. Ἀξιῶ σε, ἠπιώτατε θεός μου φύλαξόν με ἀπὸ τῶν μεριμνῶν τούτου τοῦ βίου, ἵνα μὴ ἄγαν ἐμπλεχθῶ· ἀπὸ πολλῶν ἀναγκῶν τοῦ σώματος, ἵνα μὴ ἀπὸ τῶν ἡδονῶν ληφθῶ· ἀπὸ πάντων τῆς ψυχῆς ἐμποδισμάτων, ἵνα μὴ ἡττηθεὶς τῶν λυπῶν καταβληθῶ. οὐ λέγω, ἀπὸ τούτων ὧν ἡ ματαιότης κοσμικὴ ἐξ ὅλης τῆς ψυχῆς ἐπιθυμεῖ, ἀλλ' ἀπὸ τούτων τῶν ἀθλιοτήτων, αἵπερ τὴν ψυχὴν τοῦ δούλου σου, κοινῇ κατάρᾳ τοῦ θνητοῦ, ποινίμως βαρύνουσι, καὶ ἐπέχουσιν, ἵνα μὴ εἰς τὴν ἐλευθερίαν τοῦ πνεύματος, ὁσάκις βούλεται, εἰσελθεῖν δυνηθῇ.

---

γ. Ὦ θεέ μου, ἡδύτης ἀπόρρητε, μετα-

ποίει μοι εἰς πικρότητα, πᾶσαν παρα-
μυθίαν σαρκικὴν τὴν ἀπὸ τῆς ἀγάπης
τῶν αἰωνίων με ἀφελκύσαν, καὶ τῷ ἀγα-
θοῦ τινος τερπνοῦ παρόντος προσχήματι,
πρὸς ἑαυτὴν ἐμὲ κακῶς ἐπαγομένην.
μὴ περιγένωνταί μου, ὦ θεέ μου, μὴ
περιγένωνταί μου ἡ σὰρξ καὶ τὸ αἷμα·
μὴ ἀπατήσῃ με ὁ κόσμος, καὶ ἡ βρα-
χεῖα δόξα αὐτοῦ· μὴ ὑποσκελίσῃ με
ὁ διάβολος καὶ ἡ πανουργία αὐτοῦ. δός μοι
τὴν δύναμιν τοῦ ἀντιστατεῖν, τὴν ὑπο-
μονὴν τοῦ πάσχειν· τὴν εὐστάθειαν τοῦ
διαμένειν, χάρισαι ἀντὶ πασῶν παρα-
κλήσεων τοῦ κόσμου τὴν ἡδυτάτην
χρίσιν τοῦ πνεύματός σου, καὶ ἀντὶ τῆς
ἀγάπης τῆς σαρκικῆς ἔγχεε τὴν ἀγά-
πην τοῦ ὀνόματός σου.

---

ιγ. γ.

δ. Ἰδοὺ ἡ βρῶσις, ἡ πόσις, τὸ ἀμφίεσμα
καὶ τἄλλα σκευάρια τὰ πρὸς τὴν τοῦ σώ-
ματος τροφὴν συντείνοντα, τῷ ζέον-
τι πνεύματι φορτικά ἐστι. παράσχου
τούτοις τοῖς ἐφοδίοις μετρίως χρῆσθαι
οὐ τῇ ἄγαν ἐπιθυμίᾳ ἐμπλέκεσθαι, ἀπο-
βάλλειν μὲν ἅπαντα οὐκ ἔξεστιν, ὅτι
δεῖ τὴν φύσιν τρέφειν· τὰ δὲ περιττὰ
καὶ τὰ μᾶλλον τέρποντα ἐπιζητεῖν, ὁ
ἅγιος νόμος κωλύει· ἄλλως γὰρ ἂν

βιβ: γ. κεφ: κς. στιγμὴ δ. αχπγ. ιγ. Ταρ. γ.

ἡ σὰρξ πρὸς τὸ πνεῦμα ἀνθίστατο. μεταξὺ τούτων, δέομαι ἡ χείρ σου ποιμενέτω καὶ διαλασκέτω με τοῦ μήτι τῶν ἄγαν γίνεσθαι.

---

## Κεφ: κζ.

### Ὅτι ἡ φιλαυτία τοῦ ἀρίστου ἀγαθοῦ ἡμᾶς μάλιστα ἐμποδίζει.

α. Τέκνον, δεῖ σε τὸ ὅλον διδόναι ἀντὶ τοῦ ὅλου, καὶ μηδὲν σεαυτοῦ εἶναι. ἴσθι, ὅτι ἡ φιλαυτία, μᾶλλον βλάπτει σε, ἤ τι τοῦ κόσμου. κατὰ τὴν ἀγάπην καὶ πάθος, ᾧ κατέχῃ, πᾶν πρᾶγμα πλέον ἢ ἔλαττον συνάπτεται. ἐὰν ἡ ἀγάπη σου, καθαρὰ, ἁπλῆ, καὶ εὔτακτος ᾖ, ἄνευ αἰχμαλωσίας τῶν πραγμάτων ἔσῃ. μὴ ἐπιπόθει, ὅπερ ἔχειν οὐκ ἔξεστι. μὴ ἔχε ὅ,τι σε ἐμποδίζειν, καὶ τῆς ἔσω ἐλευθερίας ἀποστερεῖν δύναται. θαυμά ἐστιν, ὅτι ἐξ ὅλης τῆς καρδίας σου σεαυτόν μοι οὐκ ἐπιτρέπεις μετὰ πάντων, ἃ ἐπιποθεῖν, ἢ ἔχειν δύνῃ.

---

β. Διὰ τί ματαίᾳ λύπῃ καταφθείρῃ; διὰ τί ταῖς περιτταῖς φροντίσι καταπονῇ; στέργε τῇ εὐδοκίᾳ μου, καὶ οὐδὲν ζημιωθήσῃ. εἰ τοῦτο ἢ ἐκεῖνο ζητεῖς, καὶ διὰ τὸ τὴν ὠφέλειάν σου, καὶ τὴν ἰδίαν εὐδοκίαν

βιβ: γ. κεφ: κζ. στιχ. μὴ β. ἀρχ. ιγ΄ ταραχ.
μᾶλλον καταπτοήσῃ. θελήσεις ἐκεῖ ἢ ἐκεῖ
εἶναι μηδέποτε εἰρηνεύσειν, μηδὲ τοῦ
μερίμνης ἀπαλλαγήσῃ, ὅτι ἐν πᾶσιν
ἔλλειψίς τις εὑρεθήσεται, καὶ πανταχοῦ ἐναντιούμενός τις ἔσται.

---

γ. Ὠφελεῖ τοίνυν οὐ πᾶν ποθὲν, ἢ ἔξω πολλαπλασιασθὲν, ἀλλὰ μᾶλλον καταφρονηθὲν, καὶ ἐκ τῆς καρδίας ἀποριζωθέν. ὅπερ μὴ μόνον περὶ τοῦ προσόδου, καὶ τῶν χρημάτων, καὶ τοῦ πλούτου δεῖ κατανοεῖν, ἀλλὰ καὶ περὶ τῆς φιλοτιμίας καὶ τοῦ πόθου τῆς κενοδοξίας, ἅπερ πάντα σὺν τῷ κόσμῳ παράγεται. μὴ μικρὸν ὁ τόπος ἀσφαλίζει, εἰ τὸ τῆς ζέσεως πνεῦμα ἐλλείπει, καὶ οὐ πολὺν χρόνον ἐκείνη ἡ εἰρήνη ἡ ἔξωθεν ζητηθεῖσα διαμενεῖ, εἰ ἡ τῆς καρδίας κατάστασις τοῦ ἀληθινοῦ θεμελίου ἀπορεῖ, τουτέστιν, εἰ μὴ ἐμμενεῖς μοι· σὲ μὲν ἀλλοιοῦν, ἀλλ' οὐκοῦν βελτιοῦν δύνῃ. τοῦ γὰρ καιροῦ ἐπελθόντος ἢ ληφθέντος, εὑρήσεις ὅ,τι ἔφυγες, καὶ πλέον.

---

Εὐχὴ ὑπὲρ τοῦ καθαρισμοῦ τῆς καρδίας, καὶ τῆς οὐρανίου σοφίας.

δ. Στήριξόν με ὁ θεός, διὰ τῆς τοῦ ἁγίου πνεύματος χάριτος. δὸς τὴν δύναμιν τοῦ κραταιωθῆναι εἰς τὸν ἔσω ἄνθρωπον, καὶ τὴν καρδίαν μου ἀπὸ πάσης ἀνωφελοῦς μερίμνης, καὶ ἀδημονίας κενῶσαι, οὐδὲ ταῖς ποικίλαις ἐπιθυμίαις, ἑνὸς ἑκάστου πράγματος εὐτελοῦς ἢ τιμίου ἑλκυσθῆναι· ἀλλὰ πάντα ὡς παρερχόμενα κἀμὲ συμπαρελευσόμενον αὐτοῖς ἐπιβλέψαι· ὅτι μηδὲν διαμένει ὑπὸ τὸν ἥλιον, ὅπου πάντα ματαιότης καὶ θλίψις τοῦ πνεύματος. ὡς σοφὸς ἐστὶν ὁ οὕτω λογιζόμενος;

---

ε. Δός μοι κύριε τὴν ἐπουράνιον σοφίαν, ἵνα μάθω ὑπὲρ πάντα σε ζητῆσαι καὶ εὑρεῖν, ὑπὲρ πάντα γεύσασθαι, καὶ ἀγαπῆσαι· καὶ τὰ λοιπά, κατὰ τὴν τάξιν τῆς σοφίας σου, καθὼς ἔχει, νοῆσαι. δὸς φρονίμως ἐκτρέπειν τὸν κολακεύοντα, καὶ καρτερεῖν τὸν ἐναντιούμενον· ὅτι αὕτη μεγίστη σοφία, οὐ σαλεύεσθαι παντὶ τῷ ἀνέμῳ τῶν ῥημάτων, οὐδὲ τῇ κακῶς κολακευούσῃ σειρῆνι τὰς ἀκοὰς διδόναι. οὕτω γὰρ

τὴν ὁδὸν ἧς ἐχόμεθα ἀσφαλῶς πορευόμεθα.

---

## Κεφ: κη΄.

α. Κατὰ τῶν γλωττῶν τῶν καταλάλων.

Τέκνον, μὴ δυσχέραινε, εἴ τινες περὶ σοῦ κακῶς γινώσκουσι, καὶ λέγουσιν, ὅπερ οὐχ ἡδέως ἀκούεις. δεῖ σε κακίω περὶ σοῦ γινώσκειν, καὶ οὐδένα σοῦ ἀσθενέστερον εἶναι πιστεύειν, εἰ πορεύῃ ἔσωθεν, οὐ πολὺ σταθμήσῃ τὰ πετόμενα ῥήματα. οὐ μικρὰ φρόνησίς ἐστιν, ἐν τῷ πονηρῷ καιρῷ σιωπᾶν, καὶ ἔσω πρός με ἐπιστρέφεσθαι, οὐδὲ τῷ κρίματι ἀνθρωπίνῳ διαταράττεσθαι.

---

β. Μὴ γένοιτο ἡ εἰρήνη σου ἐν τῷ τῶν ἀνθρώπων στόματι. εἴτε γὰρ ἐπὶ τὸ καλὸν, εἴτε ἐπὶ τὸ κακὸν ὑπολήψονται, οὐ διὰ τοῦτο ἕτερος ἄνθρωπος γίνῃ. ποῦ ἐστιν ἡ ἀληθινὴ εἰρήνη καὶ ἀληθινὴ δόξα; οὐχὶ ἐν ἐμοί; καὶ δὴ σὺ οὐκ ἐπιποθεῖ τοῖς ἀνθρώποις ἀρέσκειν, οὐδὲ φοβεῖται δυσαρεστεῖν, πάνυ εἰρηνεύσει. ἐκ τῆς γὰρ ἀτάκτου ἀγάπης, καὶ ματαίου φόβου, πᾶσα ἡ τῆς καρδίας ταραχὴ καὶ διασπασμὸς τῶν αἰσθήσεων γίνεται.

---

## Κεφ: κθ΄. Πῶς ἐπικειμένης

τῆς θλίψεως δεῖ τὸν θεὸν ἐπικαλεῖν καὶ εὐ-

βιβ: γ΄. κεφ: κθ΄. στιγμὴ α΄. αχπγ΄. ιδ΄ ταῖς ἀ-
λογιῶν.

α. Εἴη τὸ ὄνομά σου, κύριε, εὐλογημέ-
νον, εἰς τοὺς αἰῶνας· ὃς τοῦτον τὸν πει-
ρασμὸν, καὶ τὴν θλῖψιν ἐμοὶ ἐπελ-
θεῖν ἠθέλησας. οὐχ οἷός τ' εἰμι αὐ-
τὴν ἐκφυγεῖν, ἀλλὰ δεῖ ἐμὲ πρός σε
καταφυγεῖν, ἵνα μοι βοηθήσῃς, καὶ
εἰς ἀγαθόν μοι ἐπιστρέψῃς. κύριε, νυ-
νί εἰμι ἐν τῇ θλίψει, καὶ ἡ καρδία μου
οὐ καλῶς ἔχει, ἀλλὰ σφόδρα κακοῦμαι
ὑπὸ τοῦ παρόντος πάθους. καὶ νῦν πάτερ
ἀγαπητὲ, τί λαλήσω; κατελήφθην ἐν
τῇ στενοχωρίᾳ. σῶσόν με ἐκ τῆς ὥ-
ρας ταύτης. ἀλλὰ διὰ τοῦτο ἦλθον
εἰς τὴν ὥραν ταύτην, ἵνα σὺ δοξασθῇς,
ἐμοῦ μὲν πολὺ ταπεινωθέντος, ὑπὸ
σοῦ δὲ ῥυσθέντος. εὐδόκησον κύριε, τοῦ
ῥύσασθαί με· τί γὰρ ἐγὼ πένης ποιεῖν
δύναμαι, ἢ ποῖ πορευθήσομαι χωρὶς
σοῦ; δὸς τὴν ὑπομονὴν κύριε ἔτι νῦν.
βοήθησόν μοι θεός μου, καὶ οὐ φοβη-
θήσομαι ὁποσονοῦν ἂν βαρυνθῶ.

---

β. Καὶ νῦν μεταξὺ τούτων τί λέξω;
κύριε, γενηθήτω τὸ θέλημά σου. ἐγὼ
δὴ ἄξιός εἰμι θλίβεσθαι, καὶ βαρύνεσθαι.
δεῖ δήπου με πάσχειν, καὶ εἴθε ὑπο-

μη ιέ. ε.

ὑπομονητικῶς, ἕως ἂν παρέλθῃ ὁ χειμών, καὶ κρεῖττον ἐμοὶ γένηται. καίτοι ἡ χείρ σου παντοδύναμος δυνατ' ἐστὶν, καὶ τὸν πειρασμὸν τοῦτον ἀφαιρεῖν μου, καὶ τὴν ἐμβολὴν αὐτοῦ πραΰνειν, ἵνα μὴ παντελῶς ἡττηθῶ, καθὼς καὶ πρότερον πλεονάκις μετ' ἐμοῦ ἐποίησας, ὁ θεός μου, τὸ ἔλεός μου. καὶ ὅσῳ μοι τοῦτο χαλεπώτερόν ἐστι, τοσοῦτο σοι αὕτη ἡ ἀλλαγὴ τῆς δεξιᾶς ὑψίστου ῥάων γίνεται.

---

## Κεφ. λ.

### Περὶ τῆς δεήσεως θείου βοηθήματος, καὶ τῆς πεποιθήσεως τοῦ πάλιν τυχεῖν τῆς χάριτος.

α. Τέκνον, ἐγὼ ὁ κύριος στηρίζων σε ἐν τῇ ἡμέρᾳ τῆς θλίψεως. δεῦρο πρός με κακῶς ἔχων. τοῦτό ἐστιν, ὃ τὴν οὐράνιον παράκλησιν μάλιστα ἐμποδίζει, ὅτι βραδύτερον ἐπιστρέφεις εἰς τὴν προσευχήν. πρὶν γὰρ ἂν ἐκτενῶς ἀξιώσῃς με, πολλὰς παρακλήσεις ζητεῖς, καὶ ἐν τοῖς ἔξω τέρπῃ. διόπερ πάντα ὀλίγον ὠφελεῖ, ἕως ἂν κατανοήσῃς, ὅτι ἐγώ εἰμι, ὁ τοὺς ἐλπίζοντας ἐπ' ἐμοὶ ῥυόμενος, καὶ ὅτι ἔξω μου οὐκ ἔστι βοήθεια ἐνεργής, οὐδὲ βουλὴ ὠφέλιμος, οὐδὲ φάρμακον ~~ἀρκεὶς~~ διαρκές. καίτοι νῦν μετὰ τὸν χειμῶνα τὸ πνεῦμα ἀναλαβών, ἐν τῷ

βιβ. γ. κεφ. λ. στιγμὴ α. αχπγ. ιε Ταρ. ε.
φωτὶ τῶν οἰκτιρμῶν μου ἀναῤῥώσθητι·
ὅτι ἐγγὺς ἐγώ εἰμι λέγει ὁ κύριος ∋
τοῦ ἀνασκευάζειν πάντα, οὐ μόνον
τελείως, ἀλλὰ καὶ ἀφθόνως καὶ ἐπιπλέως.

---

β. κβ. ε.

Πότερόν μοι χαλεπόν τι ἐστὶν, ἢ ὁμοιωθήσομαι τῷ μὲν λέγοντι, οὐδὲ ποιοῦντι; ποῦ ἐστιν ἡ πίστις σου; στῆθι βεβαίως, καὶ ἐπιμόνως. μακροθύμει καὶ ἀνδρίζου, ἐπελεύσεται ἡ παραμυθία ἐν τῷ καιρῷ αὐτῆς. προσδόκα με, προσδόκα, μὲ ἐγὼ ἐλθὼν θεραπεύσω σε. πειρασμός ἐστιν ὃ κακιόν σε, καὶ φόβος μάταιος ὃ καταπλήττει σε. τί συμφέρει περὶ τῶν μελλόντων συμβήσεσθαι μέριμνα, εἰ μὴ ἵνα συνεχῆ λύπην ἔχῃς; ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. μάταιον καὶ ἀνωφελές ἐστι, διὰ τὰ μέλλοντα διαταράττεσθαι ἢ χαίρειν, ἅτινα ἴσως οὐδέποτε συμβήσεται.

---

γ. Ἀνθρώπειον δ' ἐστὶ τοιαύταις φαντασίαις ἐμπαίζεσθαι· καὶ τοῦ μικροψυχίας τεκμήριον, οὕτω ῥᾳδίως ἑλκύεσθαι ὑπὸ τῆς τοῦ ἐχθροῦ ὑποβολῆς. οὐ γὰρ μέλει αὐτῷ πότερον

ἂν ἀληθινοῖς ἢ ψευδέσιν παίζῃ καὶ ἀπατᾷ· πότερον τῇ τῶν παρόντων ἀγάπῃ, ἢ τῷ μελλόντων φόβῳ καταβάλλῃ. μὴ οὖν ταρασσέσθω ἡ καρδία σου, μηδὲ φοβείσθω. πίστευε εἰς ἐμὲ, καὶ τῷ ἐλέει μου πεποίθει. ἡγουμένου σου, ὅτι ἐγὼ μακρύνω, πολλάκις σοι ἐγγύτερός εἰμι. νομίζοντός σου, ὅτι σχεδὸν τὸ ὅλον ἀπόλωλε, τότε συχνῶς μεῖζον κέρδος τοῦ κατηξιῶσθαι πάρεστιν. οὐ τὸ ὅλον ἀπόλωλε, τοῦ πράγματος εἰς τοὐναντίον συμβάντος. οὐ δεῖ δὲ κρίνειν κατὰ τὸ ἐν παρόντι δοκεῖν, οὐδὲ βαρύτητί τινι ὅθεν οὖν γινομένῃ προσκεῖσθαι, καὶ αὐτὴν λαμβάνειν, ὡς πάσης ἐλπίδος τοῦ ἐκφυγεῖν ἀφαιρεθείσης.

---

κγ. ϛ.

δ. Μὴ νόμιζε ὅτι παντελῶς κατελείφθης, εἰ καὶ πρὸς χρόνον θλῖψίν τινα εἰσέβαλόν σοι, ἢ καὶ τὴν εὐκταίαν παράκλησιν ὑφεῖλον. οὕτω γὰρ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν βαδίζουσι. καὶ τοῦτο ἀναμφισβητήτως σοι καὶ τοῖς ἄλλοις δούλοις μου μᾶλλον συμφέρει, ἵνα τῇ ἀτυχίᾳ ἀσκηθῆτε, ἢ εἰ πάντα κατὰ τὴν γνώμην εἴχετε. ἐγὼ γινώσκω τὰς διανοίας ἀποκεκρυμμένας, ὅτι τὸ καταλειφθῆναι

βιβ: γ. κεφ: κβ. στιγμὴ δ. αχπγ. κυ θαρσ.
ἄνευ ἠδύσματος, εἰς τὴν σωτηρίαν
σου πολύ ποτε ὠφελεῖ, ἵνα μὴ ἐπαρ-
θῇς εὐτυχῶν καὶ αὐτάρεσκος γίνῃ ἐν
τούτῳ, ὅπερ οὐκ εἶ. ὃ ἔδωκα, ἀφελέ-
σθαι δύναμαι· καὶ ἀποδοῦναι, ὅτε μοι
δοκεῖ.

---

ε. Ὅταν διδῶ, ἐμόν ἐστιν· ὅταν ἀφέλω,
τὸ σὸν οὐκ ἀφεῖλον· ὅτι πᾶσα δόσις ἀγα-
θὴ καὶ πᾶν δώρημα τέλειον ἐμόν ἐστιν.
εἰ ἐπαφήσω σοι βαρύτητα, ἢ ὁποιονοῦν ἐν-
αντίωμα, μὴ δυσχέραινε, μηδὲ
ἡ καρδία σου συμπιπτέτω. ἐγὼ ταχέ-
ως ὑπεξαίρειν, καὶ πᾶν βάρος εἰς χαρὰν
μεταβάλλειν δύναμαι. ἀλλὰ μὴν
δίκαιος καὶ πολὺ ἐπαινετός εἰμι οὕτω
τὸ ὅλον ποιῶν.

---

ς. Εἰ εὖ φρονεῖς καὶ ἀληθῶς καθορᾷς, οὐ-
δέποτε δεῖ σε, ἐπὶ τῇ ἀτυχίᾳ οὕτως
ἀθύμως λυπεῖσθαι ἀλλὰ μᾶλλον χαί-
ρειν καὶ εὐχαριστεῖν· μὲν οὖν γε τοῦτο μό-
νον χαρὰν εἶναι νομίζειν, ὅτι ταῖς ὀ-
δύναις θλίβων σε, σοῦ οὐ φείδομαι.
καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἀ-
γαπῶ ὑμᾶς, τοῖς ἀγαπητοῖς μαθη-
ταῖς μου ἔλεξα, οὓς δηλονότι οὐκ ἀπέ-
στειλα πρὸς τὰς χαρὰς προσκαίρους.

ἀλλὰ πρὸς τοὺς μεγάλους ἀγῶνας· οὐ πρὸς
τὰς τιμὰς, ἀλλὰ πρὸς τὰς καταφρο-
νήσεις· οὐ πρὸς τὴν ἀργίαν, ἀλλὰ πρὸς
τοὺς πόνους· οὐ πρὸς τὴν ἀνάπαυσιν,
ἀλλὰ πρὸς τὴν καρποφορίαν μεγάλην
τὴν ἐν ὑπομονῇ. τούτων λόγων, τέκ-
νον μου, μέμνησο.

---

## Κεφ: λα.

### Περὶ τοῦ καταφρονεῖν τῆς κτί-σεως, ἵν᾽ ὁ κτιστὴς εὑρεθῆναι δυνηθῇ.

α. Κύριε, μείζονος δὴ χάριτος ἔτι
χρείαν ἔχω, ἐὰν ὀφείλω ἐκεῖσε ἀφι-
κεῖν, ὅπου μηδ᾽ ἄνθρωπος, μηδὲ κτί-
σμά τι ἐμποδίζειν με δυνήσεται.
μέχρι γάρ τι κατέχει με, οὐ δύναμαι
πρὸς σὲ ἐλευθέρως πετάσθαι. ἐπεπόθει
ἀνεμποδίστως πετάσθαι ὁ λέγων· τίς
δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς,
καὶ πετασθήσομαι, καὶ καταπαύσω; τί τοῦ
ἁπλοῦ ὀφθαλμοῦ ἡσυχαίτερον;
καὶ τί ἐλευθερώτερον τοῦ ἐπὶ τῆς γῆς μη-
δὲν ἐπιποθοῦντος; χρὴ τοίνυν πᾶσαν
κτίσιν ὑπερβῆναι, καὶ ἑαυτὸν παντελῶς
καταλιπεῖν, καὶ τῆς ψυχῆς ἐκστῆναι, καὶ
βλέψαι ὅτι σὺ κτιστὴς πάντων τοῖς κτίσ-
μασιν οὐδὲν ὅμοιον ἔχεις. καὶ ἐὰν μὴ

βιβ: γ. κεφ: λα. στιγμὴ ά. ἀρχὴ γ. κεφ. λθ. α: ζ·

τις πάντων κτισμάτων ἀπαλλαγή, τοῖς τοῦ θεοῦ τὸν νοῦν προσέχειν οὐ δύναται. διὰ τοῦτο γὰρ ὀλίγοι θεωρητικοὶ εὑρίσκονται, ὅτι ὀλίγοι ἑαυτοὺς τῶν φθαρσίμων κτισμάτων χωρίζεσθαι ἐπίστανται.

β. Τοῦτο μεγάλης χάριτος δεῖται, ἥτις τὴν ψυχὴν ἂν ἐπάρῃ, καὶ ὑπὲρ ἑαυτὴν ἁρπάζῃ. καὶ εἰ μὴ ὁ ἄνθρωπος τῷ πνεύματι ἐπαρθῇ, πάντων τε κτισμάτων ἀπηλλάγῃ, καὶ τῷ θεῷ ὅλος ἡνώθῃ· ὅτι οὖν γινώσκει, ἀλλὰ δὴ καὶ ὃ ἔχει, οὐ περὶ πολλοῦ ποιητέον. πολὺν χρόνον μικρὸς ἔσται, καὶ ὑποκάτω κείσεται, ὃς περὶ πολλοῦ τι ποιεῖται, πλὴν τοῦ ἑνὸς ἀμετρήτου καὶ αἰωνίου ἀγαθοῦ. ὅτι οὖν γὰρ θεὸς οὐκ ἔστι, μηδέν ἐστι, καὶ περὶ οὐδενὸς ποιητέον. πολὺ διαφέρει ἡ σοφία τοῦ φωτισθέντος καὶ εὐλαβοῦς ἀνδρὸς, καὶ ἡ ἐπιστήμη τοῦ πεπαιδευμένου καὶ φιλολόγου κληρικοῦ. ἡ διδαχὴ ἡ ἄνωθεν ἐκ θείας εἰσρύσεως γινομένη, πολλῷ τιμιωτέρα ἐστὶ τῆς τῇ ἀνθρωπίνῃ ἀγχινοίᾳ ἐπιπόνως προσποριζομένης.

γ. Πλείους μὲν εὑρίσκονται οἱ τῆς θεωρίας ἐπιθυμοῦντες, περὶ δὲ τὸ ἀσκεῖν τὰ αὐτῇ ἀναγκαῖα οὐ σπουδάζοντες.

μέγιστον ἐμπόδιόν ἐστι τὸ ταῖς σημείοις καὶ τοῖς αἰσθητικοῖς ἐμμένειν, καὶ μικρὸν τῆς τελείας νεκρώσεως ἔχειν· οὐκ οἶδα τί ἐστι, καὶ τίνι πνεύματι ἀγόμεθα, καὶ τί προσδοκαζόμεθα, οἱ πνευματικοὶ λέγεσθαι δοκοῦντες, ὅτι τοσοῦτον μὲν πονοῦμεν, καὶ μᾶλλον περὶ τῶν φθαρτῶν καὶ εὐτελείων πραγμάτων φροντίζομεν, περὶ δὲ τῶν ἔσω ἡμῶν μόλις ἢ σπανίως, τὰς αἰσθήσεις πάντως συλλέξαντες λογιζόμεθα.

κϛ΄.

δ. Φεῦ, εὐθέως μετ᾽ ὀλίγην συλλογὴν τῆς ψυχῆς ἔξω ἀναρρηγνύμεθα, καὶ τὰ ἔργα ἡμῶν ἀκριβεῖ ἐξετάσει οὐ σταθμώμεθα. ὅπου ἂν αἱ διαθέσεις ἡμῶν κέονται, οὐ προσέχομεν, οὐδὲ ὡς πάντα ἀκάθαρτά ἐστιν, ἀποδυρόμεθα. πᾶσα γὰρ σὰρξ διέφθειρε τὴν ὁδὸν αὐτῆς, καὶ διὰ τοῦτο ὁ μέγας κατακλυσμὸς εἵπετο. τῆς οὖν διαθέσεως τῆς ἔσω ἡμῶν πολὺ διαφθαρμένης, ἐπανάγκες τὴν πρᾶξιν ἑπομένην τὴν οὖσαν τεκμήριον τῆς ἀπορίας τῆς ἔσω ἀκμῆς, καταφθείρεσθαι. ἐκ τῆς καθαρᾶς καρδίας ὁ τοῦ βίου καλοῦ καρπὸς ἐκπορεύεται.

Ὅσον μέν τις ἐποίησεν, ἐπιζητεῖται,
ἐξ ὅσης δ' ἀρετῆς ποιεῖ οὐχ οὕτως ἀκ-
ριβῶς ἐξετάζεται. πότερον ἰσχυρὸς,
πλούσιος, εὔμορφος, εὐάρμοστος, καλ-
λιγράφος, καλὸς ᾠδὸς, ἢ καλὸς ἐρ-
γάτης ἐστὶν, ἀκριβοῦται. ὡς δὲ πτωχὸς
τῷ πνεύματι, ὡς ὑπομονητικὸς καὶ
πρᾶος, ὡς εὐλαβὴς καὶ περὶ τὰ ἔσω σπου-
δάζων, ὑπὸ πολλῶν σιωπᾶται. ἡ φύ-
σις τὰ ἔξω τοῦ ἀνθρώπου σκοπεῖ, ἀλλ'
ἡ χάρις εἰς τὰ ἔσω ἀποβλέπει. ἡ μὲν
συχνῶς ἀπατᾶται, ἡ δὲ ἐπὶ τῷ θεῷ ἐλ-
πίζει, τοῦ μὴ ἀπατηθῆναι.

---

## Κεφ: λβ. Περὶ τῆς ἀπαρνήσεως αὐτοῦ, καὶ τῆς ἀποῤῥίψεως ἁπάσης ἐπιθυμίας.

α. Τέκνον, οὐ δύνῃ τὴν παντελῆ ἐλευ-
θερίαν κτᾶσθαι, εἰ μὴ ὅλως σεαυτὸν
ἀπαρνῇ. ἐπεδήθησαν πάντες οἱ ἰδι-
οκτήμονες, καὶ φίλαυτοι, πλεονέκται,
πολυπράγμονες, πλάνητες, οἱ ἀεὶ μὲν
ζητοῦντες τὰ μαλακὰ, οὐ δὲ τὰ Ἰησοῦ
Χριστοῦ. καὶ πολλάκις τοῦτο πλάττοντες
καὶ συντάττοντες, ὅπερ οὐ διαμένει.
ἀπολεῖται γὰρ πᾶν τὸ τοῦ θεοῦ οὐκ
ἐκγενόμενον. τήρει τὸν βραχὺν

καὶ ἀποτετελεσμένον λόγον. ἄφες πάντα, καὶ εὑρήσεις πάντα. κατάλειπε τὴν ἐπιθυμίαν, καὶ εὑρήσεις ~~πάντα~~ τὴν ἡσυχίαν. τοῦτο τῇ γνώμῃ ἐπισκόπει, καὶ πληρώσας, γνώσῃ πάντα.

---

β. Κύριε, τοῦτο οὐκ ἔργον ἐστὶ μιᾶς ἡμέρας, οὐδὲ παιδιὰ τῶν παίδων· ἀλλὰ δὴ καὶ ταύτῃ τῇ βραχυλογίᾳ συνέχεται πᾶσα τελειότης τῶν ἀσκητῶν. τέκνον, οὐκ ὀφείλεις ἀποτρέπεσθαι, οὐδ' εὐθέως ἀθυμεῖν, ἀκούσας τῆς ὁδοῦ τῶν τελείων, ἀλλὰ μᾶλλον ἐπὶ τὰ ὑψηλότερα παροξύνεσθαι, καὶ τοὐλάχιστον ταῦτα ἐπιθυμητικῶς στενάζειν. εἴθε οὕτως εἶχες, καὶ εἰς τοῦτο ἦλθες, ὥστε οὐ φίλαυτος γινόμενος, τῷ νεύματί μου, καὶ τοῦ πατρὸς, ὃν ἐπέστησά σοι, εἰλικρινῶς ἔστερες· τότε μοι σφόδρα ἤρεσκες, καὶ ὅλον τὸν βίον σου μετὰ χαρᾶς καὶ εἰρήνης διῆγες. ἔτι χρή σε πολλὰ καταλιπεῖν, ἅτινα εἰ μὴ παντελῶς ἐπιτρέψειας μοι, τοῦ αἰτήματός σου οὐκ ἐπιτεύξῃ. συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ, χρυσίον πεπυρωμένον, ἵνα πλουτήσῃς, τοῦτ' ἔστι, τὴν σοφίαν οὐράνιον πάντα τὰ κάτω καταπατοῦσαν. περὶ ἐλάττονος ποιοῦ τὴν σοφίαν γηΐνην, πᾶσαν τ' ἀνθρωπίνην καὶ ἰδίαν εὐδοκίαν.

---

γ. Ἔλεξα, ὅτι ἐν τοῖς ἀνθρωπείοις πράγμασι ὀφείλεις εὐτελέστερα ἀντὶ τῶν τιμίων καὶ ὑψηλῶν ἀγοράσαι. πολὺ γὰρ εὐτελὴς καὶ μικρὰ εἶναι, καὶ σχεδὸν τῆς τῶν ἀνθρώπων μνήμης ἐκπεσεῖν δοκεῖ ἡ ἀληθινὴ καὶ οὐράνιος σοφία, οὐ μέγα φρονοῦσα, οὐδ' ἐπὶ τῆς γῆς τὸ τιμᾶσθαι ζητοῦσα, ἣν πολλοὶ μὲν τῷ στόματι ἐγκωμιάζουσι, τῷ δὲ βίῳ πολὺ διαφέρουσιν. ἀλλ' ὅμως αὕτη ἐστὶ πολύτιμος μαργαρίτης ἀπὸ πολλῶν ἀποκεκρυμμένος.

---

## Κεφ: λγ. Περὶ τῆς ἀσταθείας τῆς καρδίας, καὶ τελευταίας προαιρέσεως τῆς πρὸς θεόν.

α. Τέκνον, μὴ πίστευε τῷ πάθει σου. ὅ,τι νῦν ἐστιν, εὐθέως εἰς ἄλλο μεταβληθήσεται. ἕως ἂν ζήσῃς, καὶ ἄκοντι μεταβλητικὸς ἔσῃ, ὥστε νυνὶ μὲν εὔθυμος, νυνὶ δὲ σκυθρωπός· νῦν ἥσυχος, νῦν τεταραγμένος· νῦν εὐλαβής, νῦν περὶ τὰ τοῦ θεοῦ ἀπειθής· νῦν ~~[illegible]~~ σεμνός, νῦν κοῦφος γένῃ. ἀλλὰ παρὰ ταῦτα τὰ μεταβλητικὰ ὁ σοφὸς καὶ τῷ πνεύματι εὖ πεπαιδευμένος ὑφίσταται, οὐ προσέχων τί ἂν ἐν αὐτῷ αἴσθῃ, ἢ πόθεν ὁ τῆς ἀσταθείας ἄνεμος πνεύσῃ, ἀλλ' ἵνα πᾶσα προαίρεσις τ

ψυχῆς αὐτοῦ εἰς μέτρον καὶ βέλτιστον τέ-
λος προκόψῃ. οὕτω γὰρ ὁ εἷς καὶ ὁ αὐτὸς
καὶ ἀσάλευτος διαμένειν ἰσχύσει, τοῦ
ἁπλοῦ ὀφθαλμοῦ τῆς προαιρέσεως ἐν ταῖς
διαφόροις συμπτώσεσι τῶν πραγμά-
των, πρὸς ἐμὲ ἀδιαλείπτως ἐπιστραφέν-
τος.

## Κεφ. γ.

β. Ὅσῳ γὰρ ἂν ἁπλούστερος ὁ ὀφθαλμὸς
τῆς προαιρέσεως γένηται, τοσούτῳ εὐ-
σταθεστέρα ἡ ὁδοιπορία ἡ μεταξὺ διαφό-
ρων θυελλῶν ἔσται. ἀλλὰ μὴν ἐν πολ-
λοῖς ὁ ὀφθαλμὸς τῆς καθαρᾶς προαιρέ-
σεως ἀμβλυώττει. ταχέως γὰρ εἰς τερ-
πνόν τι συντυχὸν ἀποβλέπει, ἐπεὶ σπα-
νίως ἐστὶν εὑρεῖν τινα ἄσπιλον ὄντα τῆς
ἰδίας ὠφελείας. τοῦτον τρόπον πάλαι
οἱ Ἰουδαῖοι εἰς τὴν Βηθανίαν πρὸς τὴν
Μάρθαν καὶ τὴν Μαρίαν ἦλθον, οὐ διὰ
τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζα-
ρον ἴδωσιν. δεῖ τοίνυν τὸν ὀφθαλμὸν
τῆς προαιρέσεως καθαρίζειν, ὅπως ἁπ-
λοῦς καὶ εὐθὺς ᾖ, καὶ αὐτὸν ὑπὲρ πάντα ἐ-
φόδια + πρὸς ἐμὲ κατευθύνειν. + διαφέ- certa

## Κεφ: λδ.

Ὅτι τῷ ἀγαπῶντι ὁ θεὸς ὑπὲρ πάν-
τα καὶ ἐν πᾶσιν ἡδύνεται.

α. Ἰδοὺ ὁ θεός μου, καὶ ἅπαντα, καὶ

βιβ: γ΄. κεφ: λδ΄. στιγμὴ α. ἀρχ πν. γ΄ σελ: β.

τί ἔτι θέλω, καὶ τί εὐδαιμονέστερον ἐπιποθεῖν δύναμαι; ὦ γλυκὺς καὶ ἡδὺς λόγος, ἀλλὰ τῷ τὸν λόγον, οὐ τὸν κόσμον, οὐδὲ τὰ ἐν κόσμῳ ἀγαπῶντι. ὁ θεός μου καὶ ἅπαντα. τῷ συνετῷ ἱκανῶς εἴρηται, καὶ πολλάκις ἀναλαβεῖν τῷ ἀγαπῶντι ἡδύ ἐστι. σοῦ μὲν γὰρ παρόντος, πάντα ἡδέα τυγχάνει· σοῦ δ᾽ ἀπόντος, ἅπαντα δύσκολά ἐστι. σὺ τὴν καρδίαν γαληνοῖς, εἰρήνην μεγάλην, καὶ ἑορτάσιμον εὐφροσύνην παρέχων. σὺ ποιεῖς καλῶς γινώσκειν περὶ πάντων, καὶ ἐν πᾶσί σε ἐπαινεῖν, καὶ ἄνευ σοῦ διὰ πολλοῦ ἀρέσκειν τι οὐ δύναται· ἀλλ᾽ εἰ εὐπρόσδεκτον καὶ ἡδὺ εἶναι ὀφείλει, ἐπανάγκει τὴν χάριν σοῦ παρεῖναι, καὶ τῷ τῆς σοφίας σοῦ ἀρτύματι ἀρτύεσθαι.

---

δ. γ.

β. ᾯπερ σὺ γλυκαίνῃ, τί αὐτῷ οὐκ εὖ γλυκανθήσεται; καὶ ᾧ σὺ οὐ γλυκαίνῃ, τί αὐτὸν ἡδυνεῖ; ἀλλ᾽ ἐλλείπουσιν ἐν τῇ σοφίᾳ σοῦ οἱ σοφοὶ τοῦ κόσμου καὶ τὰ τῆς σαρκὸς φρονοῦντες, ὅτι ἐκεῖ πλείστη ματαιότης, καὶ ὧδε ὁ θάνατος εὑρίσκεται. οἱ δὲ διὰ τῆς καταφρονήσεως τῶν κοσμικῶν, καὶ τῆς νεκρώσεως τῆς σαρκὸς ἀκολουθοῦντές σοι, οὕτως σοφοὶ γινώσκον-

ται, ὅτι ἀπὸ τῆς ματαιότητος εἰς τὴν ἀλήθειαν, ἀπὸ τῆς σαρκὸς εἰς τὸ πνεῦμα μεταβαίνουσι. τούτοις ὁ θεὸς γλυκαίνεται, καὶ ὅτι οὖν καλὸν ἐν τοῖς κτίσεσιν εὑρίσκονται, ὅλον εἰς τὴν δόξαν τοῦ κτιστοῦ αὐτῶν ἀναφέρουσιν. οὐ μὴν ἀλλὰ ἀνόμοιος καὶ πολὺ ἀνόμοιός ἐστιν ὁ γλυκασμὸς τοῦ κτιστοῦ καὶ τῶν κτισμάτων, τῆς τε αἰδιότητος καὶ τοῦ χρόνου, τοῦ κτισθέντος φωτὸς, καὶ τοῦ ἀκτίστου φωτός.

---

ε. δ.

γ. Ω φῶς αἰώνιον, πάντα κτισθέντα φῶτα ὑπερβαῖνον. ἄστραψον ἀστραπὴν ὑψόθεν, τὴν τὰ τῆς καρδίας μου ἐνδότατα διερχομένην. καθάρισον, εὔφρανον, λάμπρυνον, καὶ ζωοποίησον τὸ πνεῦμά μου, μετὰ τῶν δυνάμεων αὐτοῦ, εἰς τὸ συνάψαι σοι, τοῖς ἀλαλαγμοῖς ἐκστατικοῖς. ὢ πότε ἡ μακαρία καὶ ἐπιπόθητος ὥρα ἐλεύσεται, ἵνα σὺ κορέσῃς με τῆς παρουσίας σου, καὶ γένῃ μοι τὰ πάντα ἐν πᾶσιν, ἕως οὗ τοῦτο οὐ δοθήσεται, ἡ χαρὰ πλήρης οὐκ ἔσται. ἔτι οἴμοι, ἐν ἐμοὶ ὁ πάλαι ἄνθρωπος ζῇ, οὐχ ὅλος ἐσταυρώθη, οὐδὲ πάντως ἀπέθανεν. ἔτι ἡ σὰρξ ἰσχυρῶς ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, ἔσω πολεμοποιεῖ, καὶ τὴν

βιβ γ. κεφ: ~~[illegible]~~ λδ. στιγμὴ
γ. ἀρχ. ἐκ Σχολίου φορέσσωνος. δ.
τῆς ψυχῆς βασιλείαν ἀρχηγεύειν
οὐκ ἐᾷ

---

δ. Ἀλλὰ σὺ ὁ δεσπόζων τοῦ κράτους τῆς
θαλάσσης καὶ καταπραΰνων τὰ κύματα
αὐτῆς, ἀνάστηθι καὶ βοήθησόν μοι. δια-
σκόρπισον ἔθνη, τὰ τοὺς πολέμους θέ-
λοντα· σύντριψε αὐτὰ ἐν τῇ δυνάμει
σου· ἐπίδειξον δέομαι, τὰ μεγαλεῖά
σου, καὶ δοξασθήτω ἡ δεξιά σου· ὅτι μοι
οὐκ ἔστιν ἄλλη ἐλπὶς, οὐδὲ καταφυγὴ,
εἰ μὴ ἐν σοὶ, κύριε ὁ θεός μου.

---

## Κεφ: λε.

### Ὅτι οὐκ ἔστιν ἀσφάλεια ἀπὸ τοῦ πειρασμοῦ ἐν τούτῳ τῷ βίῳ.

α. Τέκνον, οὐδέποτε ἀσφάλιος ἔχεις
ἐν τούτῳ τῷ βίῳ, ἀλλὰ μέχρις οὗ ζήσῃς,
τῶν ὅπλων πνευματικῶν χρήζεις· με-
ταξὺ τῶν ἐχθρῶν διάγεις, καὶ ἐκ τῆς
δεξιᾶς καὶ ἀριστερᾶς πολεμῇ. διόπερ
ἐὰν μὴ τῇ τῆς ὑπομονῆς ἀσπίδι παν-
ταχόθεν χρήσῃ, οὐ πολὺν χρόνον ἄτρω-
τος διατελέσεις. ἔτι δὲ ἐὰν μὴ τὴν
καρδίαν σου βεβαίως ἐν ἐμοὶ τιθῇς,
σὺν εἰλικρινεῖ θελήματι τοῦ διὰ ἐμὲ
πάντα πάσχειν, οὐ τοῦτον τὸν καύσω-

να, ὑπομένειν, οὐδὲ τῶν τῶν μακαρίων ἄθλων ἐπιτυχεῖν δυνήσῃ. χρὴ οὖν σε ἀνδρείως πάντα διελθεῖν, καὶ ἰσχυρᾷ χειρὶ χρήσασθαι κατὰ τῶν ἀντικειμένων. τῷ μὲν γὰρ νικῶντι τὸ μάννα δίδοται, τῷ δὲ ῥᾳθυμοῦντι, πολλὴ ταλαιπωρία καταλείπεται.

---

β. Εἰ ἐν ταύτῃ τῇ ζωῇ ἀνάπαυσιν ζητεῖς, πῶς τότε τῆς ἀναπαύσεως τῆς αἰωνίου ἐπιτεύξῃ; μὴ ἑτοίμασόν σε, πρὸς πολλὴν εἰρήνην, ἀλλὰ πρὸς μεγάλην ὑπομονήν. ζήτει τὴν ἀληθινὴν εἰρήνην, οὐκ ἐπὶ τῆς γῆς, ἀλλ' ἐν τοῖς οὐρανοῖς· οὐκ ἐν τοῖς ἀνθρώποις, οὐδ' ἐν τοῖς ἄλλοις κτίσμασιν, ἀλλ' ἐν τῷ θεῷ μόνῳ. τῆς θεοφιλίας ἕνεκα ὀφείλεις ἀσμένως πάντα καρτερεῖν, πόνους θλίψεις καὶ ὀδύνας, πειρασμούς, κακώσεις, ἀδημονίας, ἀνάγκας, ἀσθενείας, ὕβρεις, καταλαλίας, ἐπιτιμήσεις, ταπεινώσεις, αἰσχύνας, παιδεύσεις, καὶ καταφρονήσεις. ταῦτα εἰς τὰς ἀρετὰς ὠφελεῖ· ταῦτα τὸν νέον στρατιώτην τοῦ Χριστοῦ δοκιμάζει· ταῦτα τὸν ἐπουράνιον στέφανον κατεργάζεται. ἐγὼ τὸν αἰώνιον μισθὸν ἀντὶ τοῦ βραχέως πόνου, καὶ τὴν ἄπειρον δόξαν, ἀντὶ τῆς προσκαίρου αἰσχύνης ἀποδώσω.

---

Σὺ δοκεῖς, ὅτι ἀεί, κατὰ τὴν γνώμην
ταὶς παρακλήσεις πνευματικὰς ἕξεις;
οἱ ἅγιοί μου οὐκ εἶχον τοιαύτας, μᾶλ-
λον δὲ πολλὰς βαρύτητας, καὶ διαφό-
ρους πειρασμούς, καὶ μεγάλας ἐρημώσεις
ἀλλ' ἐκαρτέρησαν ἅπαντα, μᾶλλον τῷ
θεῷ, ἢ αὐτοῖς πεποιθότες, καὶ εἰδότες,
ὅτι οὐκ ἄξιά ἐστι τὰ παθήματα τοῦ νῦν
καιροῦ, πρὸς τὸ τὴν μέλλουσαν δόξαν
μισθοδοσίαν. βούλει σὺ παραυτίκα ἔ-
χειν, ὅ,τι πολλοὶ μετὰ δάκρυα καὶ
μεγάλους πόνους μόλις ἔλαβον; ὑπό-
μεινον τὸν κύριον καὶ ἀνδρίζου, καὶ κρα-
ταιώθητι· μὴ ἀπίστει, μὴ ὕπαγε, ἀλ-
λὰ τὸ σῶμα καὶ τὴν ψυχὴν εὐσταθῶς
ὑπὲρ τῆς τοῦ θεοῦ δόξης παράδος. ἐγὼ
πλειότατόν σοι ἀποδώσω. ἐγὼ μετὰ
σοῦ ἐν πάσῃ θλίψει ἔσομαι.

## ζ. ς. Κεφ: λς.

### Κατὰ τῶν ματαίων κρίσεων τῶν ἀνθρώπων.

α. Τέκνον, τὴν καρδίαν σου ἐν τῷ κυρί-
ῳ βεβαίως τίθητι, καὶ τὴν ἀνθρωπίνην
κρίσιν μὴ φοβοῦ, τῆς συνειδήσεώς σε
εὐσεβῆ καὶ ἄκακον ὄντα ἀποδεικνυού-
σης. καλὸν καὶ μακάριόν ἐστιν οὕτω πα-
σχεῖν, καὶ τοῦτο τῷ ταπεινῷ τῇ καρ-

δία, καὶ ἐπὶ τῷ θεῷ μᾶλλον ἢ ἐφ' αὐ-
τῷ πεποιθότι, οὐ χαλεπόν ἐστι. πολλοὶ
πολλὰ λαλοῦσι, καὶ διὰ τοῦτο χρὴ αὐ-
τοῖς ὀλίγον πιστεύειν. καίτοι καὶ πᾶσιν
ἀρέσκειν οὐ δυνατόν ἐστιν. εἰ γὰρ ὁ Παῦ-
λος πᾶσιν ἐν τῷ κυρίῳ ἀρέσκειν ἐσπού-
δασε, καὶ πᾶσι τὰ πάντα γέγονεν, αὐ-
τῷ μέντοι καὶ εἰς ἐλάχιστον ἦν, ἵν' ὑπ' ἀν-
θρωπίνης ἡμέρας ἀνακριθῇ.

---

β. Ἐξαισχύντως ἐπόνησεν ὑπὲρ τῆς τῶν
ἄλλων οἰκοδομῆς καὶ σωτηρίας, ὅσον ἐπ'
αὐτῷ καὶ δυνατὸν ἦν· τὸ δὲ κριθῆναί
ποτε αὐτὸν ὑπ' ἄλλων, ἢ οὐ καταφρονη-
θῆναι, κωλύειν οὐκ ἠδυνήθη. διόπερ
πᾶν τῷ θεῷ τῷ πάντα εἰδότι ἐπέτρε-
ψε, καὶ τῇ ὑπομονῇ καὶ τῇ ταπεινότητι,
πρὸς τὰ στόματα τῶν ἄδικα λαλούντων
ἢ τὰ μάταια καὶ ψευδῆ ἐννοούντων, καὶ
καλῶς αὐτοῖς φίλον ἐστίν, ὅτι οὐκ ἐξαγο-
ρευόντων, ὑπὲρ αὐτοῦ ἠπολογήσατο.
ἀλλ' ὅμως ποτὲ ἀπεκρίθη, τοῦ μὴ τοῖς
ἀσθενέσι διὰ τῆς αὐτοῦ σιωπῆς σκάνδαλον
ἐμποιηθῆναι.

---

γ. Τίς εἶ σύ, ἵνα φοβηθῇς ἀπὸ θνητοῦ ἀν-
θρώπου; σήμερον ἐστι, καὶ αὔριον οὐ φαί-
νεται. τὸν θεὸν φοβοῦ, καὶ τῷ τῶν ἀνθρώ-
πων δείματι οὐκ ἐκπληχθήσῃ. τί ἄν

τίς τοῖς ῥήμασιν, ἢ ταῖς ὕβρεσι κακῶς σε ποιήσειε; μᾶλλον ἑαυτὸν ἢ σὲ βλάπτει. καὶ τὸ κρίμα τοῦ θεοῦ ἐκφυγεῖν οὐ δυνήσεται, ὅστις ἂν ᾖ. σὺ τὸν θεὸν πρὸ ὀφθαλμῶν ἔχε, καὶ τοῖς λόγοις περιμεμφέσι μὴ ἔριζε. εἰ δὲ εἰς τὸ παρὸν ἡττᾶσθαι καὶ ἀδίκως καταισχύνεσθαι δοκεῖς, μὴ τούτῳ δυσχέραινε, μηδὲ δι' ἀτλησίας τὸν στέφανόν σου μείου. ἀλλὰ μᾶλλον ἀνάβλεπε εἰς τὸν οὐρανὸν πρὸς ἐμὲ δυνάμενον πάσης αἰσχύνης καὶ ὕβρεως ἀπαλλάττειν, καὶ ἑκάστῳ ἀποδιδόναι κατὰ τὰ ἔργα αὐτοῦ.

---

## Κεφ: λζ.

### Περὶ τῆς καθαρᾶς καὶ τελείας ἐπιτροπῆς αὐτοῦ πρὸς τὸ τυχεῖν τῆς ἐλευθερίας τῆς καρδίας.

α. Τέκνον, ἄφες σε, καὶ εὑρήσεις με, ἀπαλλάγηθι τῆς διακρίσεως, καὶ πάσης ἰδιότητος, καὶ ἀεὶ κερδήσεις. καὶ γὰρ καὶ μείζων χάρις προστεθήσεταί σοι, ἅμα ἂν σὲ ἐπιτρέψῃς, καὶ οὐκ ἀναλήψῃ. κύριε, ποσάκις ἐπιτρέψω με, καὶ ἐν τίσι καταλείψω με; πάντοτε καὶ πάσῃ τῇ ὥρᾳ, ὡς ἐν μικρῷ οὕτως ἐν μεγάλῳ. μηδὲν ἐξαιρῶ, ἀλλ' ἐν πᾶσι γυμνωθέντα σε εὑρίσκεσθαι θέλω. εἰ δὲ μή, πῶς δυνήσῃ εἶναι ἐμός,

κἀγὼ σοί, ἐὰν μὴ ἀπάσης ἰδίας βουλήσεως, ἔσω καὶ ἔξω, ἀποστερηθῇς; ὅσῳ τάχιον τοῦτο ποιεῖς, τοσούτῳ βέλτιον ἕξεις· καὶ ὅσῳ πλέον καὶ εἰλικρινέστερον, τοσούτῳ μᾶλλον ἀρέσεις μοι, καὶ μεῖζον κερδήσεις.

---

β. Οἱ μὲν ἑαυτοὺς ἐπιτρέπουσιν, ἀλλὰ σύν τινι ἐξαιρέσει· οὐ γὰρ πάντως τῷ Θεῷ πεποίθασι, διὸ ἑαυτῶν προνοεῖν σπουδάζουσιν. οἱ δὲ καὶ πρῶτον τὸ ὅλον προσφέρουσιν, ἀλλὰ τῷ πειρασμῷ βληθέντες, εἰς τὰ ἴδια ἀναστρέφουσι, διόπερ ἐν τῇ ἀρετῇ ἥκιστα προκόπτουσιν. οὗτοι τῆς ἀληθινῆς ἐλευθερίας τῆς καρδίας, καὶ τῆς χάριτος τῆς ἡδείας οἰκειότητός μου οὐκ ἐφίξονται, ἐὰν μὴ πρότερον παντελῶς ἑαυτοὺς ἐπιτρέψωσι, καὶ καθ' ἑκάστην θύσωσιν, ἄνευ ἧς ἡ ἀπολαυστικὴ ἕνωσις οὐχ ὑφίσταται, οὐδὲ ὑποστήσεται.

---

γ. Ἔλεξά σοι πλειστάκις, καὶ νῦν αὖθις λέγω. ἄφες σε, ἐπίτρεψόν σε, καὶ μεγάλης εἰρήνης τῆς ἔσω ἀπολαύσεις. δὸς τὸ ὅλον ἀντὶ τοῦ ὅλου· μηδὲν ἐπιζήτησον, μηδὲν ἀνάλαβε· ἔμμεινόν μοι καθαρῶς καὶ ἀναμφισβητήτως, καὶ ἕξεις με. ἔσῃ ἐλεύθερος τῇ καρδίᾳ, καὶ τὸ σκότος οὐ καταπατήσει σε. περὶ τούτου σπούδασον, τοῦτο ἀξίωσον, τοῦτο ἐπιθύμησον ἵν' οἷός τ' ᾖς πάσης ἰδιότητος ἀποστερηθῆναι, καὶ γυμνὸς

βιβ: γ´. κεφ: λζ´. στιγμὴ γ´. ἄχρι γ´. ζ´. ἐκ ε: 5.
τῷ γυμνῷ Ἰησοῦ ἀκολουθῆσαι· σοὶ ἀπο-
θανεῖν, κἀμοὶ αἰωνίως ζῆσαι. τότε πᾶ-
σαι μάταιαι φαντασίαι, αἱ ἄδικοι συν-
ταράξεις, καὶ περιτταὶ φροντίδες ἐκλεί-
ψουσι. τότε ὁ ἄμετρος φόβος ἀπελεύ-
σεται, καὶ ἡ ἄτακτος ἀγάπη ἀποθανεῖται.

---

## Κεφ: λη´.

### Περὶ τῆς καλῆς οἰκονομίας τῶν ἐν τοῖς ἔξω, καὶ τῆς καταφυγῆς πρὸς τὸν θεὸν ἐν τοῖς κινδύνοις.

α´. Τέκνον, η´. ζ´.
τούτου δεῖ σε στοχάζεσθαι, ἵν᾽ ἐν παντὶ τό-
πῳ καὶ πράξει, ἢ ἀσχολίᾳ τῇ ἔξω, ἔσω
ἐλεύθερος ᾖς, καὶ σεαυτοῦ κρατήσῃς, καὶ
πάντα ὑπό σοι γένηται, καὶ σὺ οὐχ ὑπ᾽
αὐτοῖς· ὅπως τῶν πράξεών σου κύριος
καὶ εὐθυντὴς ὑπάρξῃς, οὐ δοῦλος οὐδ᾽ ἀρ-
γυρώνητος, ἀλλὰ μᾶλλον ἐξαίρετος
καὶ ἀληθινὸς Ἑβραῖος, εἰς τὸν κλῆρον καὶ
τὴν ἐλευθερίαν τῶν τοῦ θεοῦ υἱῶν με-
ταβαίνων· οἵτινες ὑπὲρ τῶν παρόντων
ἱστάμενοι τὰ αἰώνια θεωροῦσι· καὶ τὰ μὲν
πρόσκαιρα τῷ ἀριστερῷ, τὰ δ᾽ οὐράνια τῷ
δεξιῷ ὀφθαλμῷ προσβλέπουσιν· οὓς
τὰ βιωτικὰ εἰς τὸ συνάπτειν οὐχ ἕλ-
κουσι, ἀλλ᾽ αὐτοὶ ἐκεῖνα εἰς τὸ καλῶς
δουλεύειν ἐπάγουσι, καθὼς ὑπὸ τοῦ θ-

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

φίσου κτισοῦ ἐτάχθη καὶ κατεστάθη, ὅς
συνελθεῖν ἄτακτον ἐν τῷ κτίσματι αὐ-
τοῦ κατέλιπε.

---

β. Πρὸς τούτοις, ἐὰν ἐν παντὶ συμβαίν-
οντι οὐκ ἀγαπήσῃς τῷ φαίνεσθαι τῷ ἔξω,
οὐδὲ τὰ ἑωραμένα ἢ ἠκουσμένα τῷ
ὀφθαλμῷ σαρκικῷ ἐπιβλέψῃ· ἀλλ'
ἐν ἑκάστῳ πράγματι παραχρῆμα σὺν
Μωϋσῇ εἰς τὴν σκηνὴν εἰσέλθῃς τοῦ πυθ-
έσθαι παρὰ κυρίου. χρηματισθήσῃ ποτὲ ὑπὸ
τοῦ θεοῦ, καὶ πολλὰ τῶν παρόντων καὶ
μελλόντων καταμαθεῖν ἀναστρέψεις.
ἀεὶ γὰρ ὁ Μωϋσῆς εἰς τὴν σκηνὴν συν-
έδραμε, τοῦ τὰς ἀπορίας καὶ τὰ ζητή-
ματα λύεσθαι· καὶ πρὸς τὴν τοῦ δεήσεως
βοήθειαν κατέφυγε, τοῦ τοὺς κινδύνους,
καὶ τὰς τῶν ἀνθρώπων πονηρίας ἀφαιρεῖ-
σθαι. οὕτω καὶ σὺ εἰς τὸ τῆς καρδίας σου ἀ-
πόκρυφον καταφυγεῖν ὀφείλεις, τὴν
τοῦ βοήθειαν θεοῦ ἀκριβέστερον ἐπι-
καλῶν. διὰ ταῦτα γὰρ ὁ Ἰωσῆε, καὶ οἱ
υἱοὶ Ἰσραὴλ ὑπὸ τῶν Γαβαωνιτῶν ἠπα-
τημένοι ἀναγινώσκονται, ὅτι τὸ στόμα
τοῦ κυρίου πρότερον οὐκ ἐπηρώτησαν, ἀλλ'
ἄγαν ταχυπειθεῖς τῇ αὐτῶν γλυκυλογίᾳ
γενόμενοι, τῇ ψευδοσεβείᾳ ἐνεπαίχ-
θησαν.

## Κεφ: λθ.

### Ἵν' ὁ ἄνθρωπος ἐν τοῖς πράγμασι μὴ ᾖ ἄκαιρος.

α. Τέκνον, ἐπίτρεψόν μοι ἀεὶ τὴν δίκην σου. ἐγὼ ἐν τῷ καιρῷ αὐτῆς καλῶς διαθήσω. προσδόκα τὴν ἐμοῦ διάταξιν, κἀκεῖθεν αἰσθήσῃ τ' ἐπιδόσεως. κύριε, πάνυ ἀσμένως σοὶ πάντα τὰ πράγματά μου ἐπιτρέπω, ὅτι ἡ διάνοιά μου ὀλίγον συμφέρειν δύναται. εἴθε οὐ πολὺ τοῖς μέλλουσι συμβήσεσθαι συνῆπτον, ἀλλ' εἰς τὴν εὐδοκίαν σου ἀμελλητί με προσέφερον.

---

β. Τέκνον, πολλάκις μὲν ὁ ἄνθρωπος λίαν σπεύδει τι, οὗτινος ἐπιθυμεῖ· αὐτοῦ δ' ἐφικόμενος ἄλλως γινώσκειν ἄρχεται, ὅτι τὰ πάθη περὶ τὸ αὐτὸ οὐ μόνιμά ἐστιν, ἀλλὰ μᾶλλον ἀφ' ἑνὸς εἰς ἄλλο ἐπάγει. οὐ τοίνυν τοὐλάχιστόν ἐστι, τὸ ἐν τοῖς ἐλαχίστοις ἑαυτὸν καταλιπεῖν.

---

γ. Ἡ ἀληθινὴ ἐπίδοσις τοῦ ἀνθρώπου ἐστὶ τὸ ἀπαρνήσασθαι ἑαυτόν· καὶ ὁ ἄνθρωπος ἀπαρνησάμενος ἑαυτὸν, πάνυ ἐλεύθερος καὶ ἀσφαλὴς ὑπάρχει. ὁ δὲ πάλαι ἐχθρὸς, πᾶσιν ἀγαθοῖς ἐναντιούμενος, οὐ λήγει πειράζων, ἀλλὰ τῆς ἡμέρας καὶ

τῆς νυκτὸς δεινῶς ἐπιβουλεύει, εἰ ἄρα εἰς τὴν τῆς ἀπάτης παγίδα τὸν ἀφύλακτον καταβάλλειν δυνήσεται. γρηγορεῖτε καὶ προσεύχεσθε, φησὶν ὁ κύριος, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

## Κεφ: μ.

### Ὅτι ὁ ἄνθρωπος μηδὲν ἀγαθὸν ἐξ αὐτοῦ ἔχει, καὶ ἐπ' οὐδενὶ καυχᾶσθαι δύναται.

α. Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; πῶς ἠξιώθη ὁ ἄνθρωπος τοῦ δοθῆναι αὐτῷ τὴν χάριν σου; κύριε, τί δύναμαι μεμψιμοιρεῖν, εἰ ἐμὲ καταλείπεις; ἢ τί εἰκότως ἔχω προσαμβίζεσθαι, εἰ ὅ,τι ἀξιῶ, οὐ ποιεῖς; τοῦτο δὴ ἀληθῶς λογίζεσθαι καὶ λέγειν δύναμαι· κύριε, μηδέν εἰμι, μηδὲν ἰσχύω, μηδὲν ἀγαθὸν ἐξ ἐμοῦ ἔχω, ἀλλ' ἐν πᾶσιν ἐλλείπω, καὶ ἀεὶ εἰς μηδὲν φέρομαι· καὶ ἐὰν μὴ βοηθήσῃς μοι, καὶ ἔσω παιδεύσῃς, ὅλως χλιαίνομαι καὶ ἐκλύομαι.

β. Σὺ δὲ κύριε, ἀεὶ ὁ αὐτὸς εἶ, καὶ εἰς τὸν αἰῶνα μένεις, ἀεὶ ἀγαθός, δίκαιος καὶ ἅγιος, ἀγαθῶς, δικαίως, καὶ ἁγίως πάντα πράττων, καὶ σοφῶς πάντα διατιθείς. ἐγὼ δέ, ὁ εἰς ἔκλειψιν μᾶλλον ἢ εἰς προκοπὴν ῥέπων, οὐκ ἀεὶ ὡσαύτως διατελῶ· ὅτι οἱ καιροὶ ἐπὶ μὲ ἀεὶ ἀλλάττονται. καίτοι εὐθέως βέλτιον ἔχω, ἐὰν ἀρέσῃ

βιβ. γ. κεφ. μ. στιγμὴ β. ἀρχ. πγ. ἡ ἐμε ζ-
σοι, καὶ ἐὰν ἀντιλήψη μου. ὅτι σὺ μόνος
ἄνευ τῆς ἀνθρωπίνης συντεχείας
δυνήσῃ βοηθεῖν, καὶ οὕτω κραταιοῦν, ἵνα
τὸ πρόσωπόν μου οὐ συμπέσῃ ἔτι, ἀλλὰ
εἰς σὲ ἡ καρδία μου ἐπιστραφῇ καὶ
ἐπιβλεύσῃ.

---

γ. Διόπερ οὐ σὺν ἐπιστάμην πᾶσαν ἀν-
θρωπίνην παραμυθίαν ἀποβάλλειν,
ἤτοι διὰ τὸ τυχεῖν τῆς εὐλαβείας, ἤτοι
δι' ἀνάγκην ἣν ζητεῖν σε ἀναγκάζομαι,
ὅτι οὐκ ἔστιν ἄνθρωπος ὁ παρακαλῶν με·
τότε εἰκότως ἂν τὴν χάριν σου ἐλπί-
ζειν, καὶ τῷ δώρῳ τῆς καινῆς παραμυ-
θίας ἀγαλλιᾶσθαι ἠδυνάμην.

---

δ. Εὐχαριστῶ σοι, ἀφ' οὗ πᾶν ἔρχεται, ὁπο-
σάκις οὖν μοι καλῶς προχωρεῖ. ἐγὼ δὲ
ματαιότης καὶ μηδὲν ἐνώπιόν σου, ἀστα-
θὴς καὶ ἀσθενὴς ἄνθρωπος. πόθεν οὖν
καυχᾶσθαι, ἢ διὰ τί τιμᾶσθαι ἐπιποθῶ;
ἆρά γε περὶ μηδενός; καὶ τοῦτο μαται-
ότατόν ἐστιν. ὄντως ἡ κενοδοξία, κακὸς
λοιμός, μεγίστη ματαιότης, ὅτι τῆς ἀλη-
θινῆς δόξης ἀφέλκυσε, καὶ τῆς οὐρανίου
χάριτος ἀποστερεῖ. ἐν τῷ μὲν γὰρ ἄν-
θρωπον ἀρέσκειν αὐτῷ, ἀπαρέσκει
σοι· ἐν τῷ δὲ τοῖς ἀνθρωπίνοις ἐγχαί-
ρειν, τὰς ἀληθινὰς ἀρετὰς ἀφαιρεῖται.

---

βιβ: γ. κεφ: μ. στιχ: ε. ἀρχ: π. ν. θ. ἐκ. ρε. α

ε. Ἡ δ' ἀληθινὴ δόξα, καὶ ἁγία ἀγαλλία-
σις ἐστὶ τὸ ἐπὶ σοὶ καυχᾶσθαι, ἀλλ' οὐκ ἐφ'
ἑαυτῷ. χαίρειν ἐπὶ τῷ ὀνόματί σου,
ἀλλ' οὐκ ἐπ' ἰδίᾳ δυνάμει, οὐδέ τινι
κτίσει, πλὴν ἢ διὰ σέ, ἥδεσθαι. ἐπαιν-
είσθω τὸ ὄνομα σόν, οὐ τὸ ἐμόν. με-
γαλυνέσθω τὸ ἔργον σόν, οὐ τὸ ἐμόν.
εὐλογείσθω τὸ ἅγιον ὄνομά σου, ἐμοὶ
δὲ μηδὲν ἐκ τῆς τῶν ἀνθρώπων αἰνέ-
σεως ἀνατιθέσθω. σὺ δόξα μου, σὺ ἀ-
γαλλίασις τῆς καρδίας μου. ἐν σοὶ καυ-
χήσομαι, καὶ ἀγαλλιάσω ὅλην τὴν ἡμέ-
ραν, ὑπὲρ δὲ ἐμαυτοῦ μηδαμῶς,
εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.

---

ϛ. Ζητείτωσαν οἱ Ἰουδαῖοι τὴν δόξαν
τὴν ἀπ' ἀλλήλων. ἐγὼ τὴν ἀπὸ τοῦ
θεοῦ μόνου ζητήσω. πᾶσα γὰρ ἀνθρω-
πίνη δόξα, πᾶσα τιμὴ πρόσκαιρος,
πᾶν ὕψος κοσμικὸν πρὸς τὴν αἰώνι-
ον δόξαν σου συμβληθέν, ματαιότης
καὶ μωρία ἐστίν. ὦ ἀλήθειά μου, καὶ ἔλε-
ός μου, θεός μου, μακαρία τριάς, σοὶ
μόνῃ ἔπαινος, τιμή, δύναμις καὶ δόξα,
εἰς ἀπείρους αἰῶνας τῶν αἰώνων.

---

## Κεφ: μά.

### Περὶ τοῦ καταφρονεῖν πάσης προσκαίρου τιμῆς.

α. Τέκνον, μὴ λυποῦ, εἰ τοὺς μὲν ἄλλους τιμωμένους, καὶ ὑψουμένους, σὲ δὲ καταφρονούμενον καὶ ταπεινούμενον ὁρᾷς. ἔγειρε τὴν καρδίαν σου πρὸς ἐμὲ εἰς τὸν οὐρανόν, καὶ οὐ λυπήσει σε ἡ καταφρόνησις τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς. κύριε, ἐν τῇ τυφλότητι ἐσμέν, καὶ τῇ ματαιότητι ταχέως ἀπατώμεθα. εἰ καλῶς ἐπιβλέπω με, οὐδέποτε ὑπό τινος κτίσεως ὑβρίσθην, διὸ οὐκ ἔχω εἰκότως μέμφεσθαί σοι.

β. Ὅτι δὲ συχνῶς καὶ δεινῶς ἥμαρτόν σοι, δικαίως κατά μου πᾶσα κτίσις ὁπλίζεται. διὰ ταῦτα αἰσχύνη καὶ καταφρόνησις μοι πρέπει· σοὶ δὲ ἔπαινος, τιμὴ, καὶ δόξα. καὶ ἐὰν μὴ ἑτοίμως γένωμαι ὑπὸ πάσης κτίσεως ἀσμένως καταφρονεῖσθαι καὶ καταλείπεσθαι, καὶ πάντως ἐξουδενοῦσθαι, οὐχ οἷός τ᾽ εἰμὶ ἔσω εἰρηνεύειν καὶ βεβαιοῦσθαι, οὐδὲ πνευματικῶς φωτίζεσθαι, καὶ τελέως σοι ἑνοῦσθαι.

## Κεφ: μβ.

### Ὅτι οὐ δεῖ τὴν εἰρήνην ἐν τοῖς ἀνθρώποις τιθέναι.

α. Τέκνον, εἰ πρός τινα ἄνθρωπον εἰρήνην ἔχεις, διὰ τὸ δοκοῦν σοι καὶ συνομιλεῖν, ἀβέβαιος ἔσῃ καὶ ἐμπλεχθήσῃ. εἰ δὲ πρὸς τὴν ἀεὶ ζῶσαν, καὶ διαμένουσαν ἀλήθειαν καταφεύγεις, οὐ λυπήσει σε ὁ φίλος ἀπερχόμενος ἢ τελευτῶν. ἐν ἐμοὶ τὴν τοῦ φίλου ἀγάπην δεῖ κεῖσθαι· καὶ διά με ἀγαπητέος ὑπάρχει, ὅστις ἂν ἀγαθὸς καὶ πολὺ προσφιλὴς ἐν ταύτῃ τῇ ζωῇ σοι εἶναι δόξῃ. ἄνευ ἐμοῦ οὐκ ἰσχύει ἡ φιλία, οὐδὲ διαμενεῖ· οὐδ᾽ ἀληθινὴ καὶ καθαρὰ ἀγάπη ἐστὶν ἣν ἐγὼ οὐ ποιῶ. οὕτω δεῖ σε τούτοις τοῖς πάθεσι τῶν ἀνθρώπων ἀγαπητῶν ἀποθανεῖν, ὥστε τὸ κατὰ σὲ ἄνευ πάσης ἀνθρωπίνης ὁμιλίας ζῆν ἐπιποθεῖν. τοσούτῳ μᾶλλον ὁ ἄνθρωπος τῷ θεῷ πλησιάζει, ὅσῳ πορρωτέρω πάσης τῆς ἐπιγείου παρακλήσεως ἀφίσταται. ἔτι δὲ, τοσούτῳ ὑψηλότερον πρὸς τὸν θεὸν ἀναβαίνει, ὅσῳ βαθύτερον εἰς ἑαυτὸν καταβαίνει, καὶ πλέον ἑαυτῷ εὐτελίζεται.

---

β. Ὁ δ᾽ ἀγαθόν τι ἑαυτῷ ἀνατιθεὶς, τὴν τοῦ χάριν κωλύει ἐλθεῖν. ὅτι ἡ χάρις τοῦ ἁγίου πνεύματος ταπεινὴν καρδίαν

βιβ: γ. κεφ: μβ. στιγμὴ β. ἀχπγ. θέλημα
ἀεὶ ζητεῖ. εἰ ἐπίστασο τελείως σε ἐξου-
δενῆσαι, καὶ πάσης κτισθείσης ἀγάπης ἀπο-
κενῶσαι, τότε ἔδει με σὺν μεγάλῃ
χάριτί σοι ἐγχυθῆναι. ὅτε σὺ πρὸς
τὰς κτίσεις ἀποβλέπεις ὑφελκύεται
σοι ἡ ὄψις τοῦ κτιστοῦ. μάνθανε ἐν πᾶσι
διὰ τὸν κτιστὴν νικῆσαί σε, τότε τῆς θεί-
ας γνώσεως ἐφικέσθαι δυνήσῃ. ὁπηλικον-
οῦν ἂν ᾖ, εἰ ἀτάκτως ἀναπᾶται, καὶ τηρᾶ-
ται, τοῦ μεγίστου ἀγαθοῦ ἐπέχει, καὶ
κακύνει.

---

## Κεφ: μγ.

**Κατὰ τῆς κενῆς καὶ κοσμικῆς ἐπιστήμης.**

α. Τέκνον, μὴ κινηθῆτι τῇ καλλιλογίᾳ
καὶ λεπτολογίᾳ τῶν ἀνθρώπων. οὐ γὰρ
ἐν λόγῳ ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ' ἐν
δυνάμει. πρόσεχε τοῖς λόγοις μου, τοῖς
τὰς καρδίας μὲν ἀνάπτουσι, καὶ τὰς ψυ-
χὰς φωτίζουσι, τὴν δὲ σύννυξιν εἰσάγου-
σι, καὶ ποικίλην παραμυθίαν ἐμποιοῦσιν.
οὐδέποτε διὰ τοῦτο ῥῆμα ἀνάγνωθι, ἵνα
παιδευτότερος ἢ σοφώτερος φανῆναι
δυνηθῇς. περὶ τὴν νέκρωσιν τῶν κακιῶν
σπούδαζε, ὅτι τοῦτο μᾶλλον ὠφελήσει σε,
ἢ ἡ πολλῶν χαλεπῶν ζητημάτων γνῶσις.

---

β. Σὲ τὸν πολλὰ ἀναγνόντα καὶ καταμα-
θόντα, εἰς μίαν ἀρχὴν ἐπανελθεῖν χρή.
ἐγώ εἰμι, ὁ τὸν ἄνθρωπον τὴν ἐπι-

στήμην διδάσκων, ἢ τοὺς νηπίους σα-
φεστέραν σύνεσιν χαριζόμενος, ἢ ἂν
ὑπὸ τοῦ ἀνθρώπου διδάσκεσθαι δυνηθῇ.
ᾧτινι ἐγὼ λαλῶ, παραυτίκα σοφὸς ἔσται,
καὶ πολὺ τῷ πνεύματι προκόψει. οὐαὶ
τοῖς πολλὰ μὲν πάρεργα παρὰ τῶν
ἀνθρώπων ἐξετάζουσιν, ὀλίγον δὲ τοῦ
ὁδοῦ τοῦ δουλεύειν μοι ἐπιμελουμένοις.
ἐλεύσεται ὁ χρόνος, ὅτε φανηθήσεται
διδάσκαλος τῶν διδασκάλων ὁ Χριστὸς,
κύριος τῶν ἀγγέλων, καὶ ἀναγνώσεις
πάντων ἀκούσων, τοῦτ᾿ ἔστι, καὶ συνειδήσ-
εις πάντων ἐξετάσων. καὶ τότε ἐξερευ-
νηθήσεται ἡ Ἱερουσαλὴμ μετὰ λύχνου,
καὶ τὰ κρυπτὰ τοῦ σκότους φανερὰ ἔσται,
καὶ οἱ ἔλεγχοι τῶν γλωττῶν σιωπήσουσιν.

---

γ. Ἐγώ εἰμι, ὁ τὸν ταπεινὸν τῇ διαν-
οίᾳ, ἐν ἀκαρεῖ ἐπαίρων, ἵνα πλείους λό-
γους τῆς αἰωνίου ἀληθείας χωρήσῃ, ἢ ἐάν
τις δέκα ἔτη εἰς τὸ διδασκαλεῖον φοι-
τήσῃ. ἐγὼ διδάσκω ἄνευ δούπου τῶν ῥη-
μάτων, ἄνευ συγχύσεως τῶν γνωμῶν,
ἄνευ τύφου τῆς δόξης, ἄνευ μάχης τῶν
ἐλέγχων. ἐγώ εἰμι ὁ διδάσκων τῶν
ἐπιγείων καταφρονεῖν, τὰ παρόντα ἀπο-
στρέφεσθαι, τὰ αἰώνια ζητεῖν, τὰ αἰώνια
φρονεῖν· τὰς τιμὰς φεύγειν, τὰ σκάν-
δαλα ὑπομένειν, πᾶσαν ἐλπίδα ἐπ᾿ ἐμ-

βιβ. γ. κεφ: μγ. στοιχ. γ. ἀρχ. θέλεις ἀ-τιθέναι, ἔξω ἐμοῦ μηδενός ἐπιθυμεῖν, καὶ ὑπὲρ πάντα ἐμὲ ζεστῶς ἀγαπᾶν.

---

ι. β.

δ. Τῷ γὰρ προσφιλέστατα διακεῖσθαι πρὸς ἐμὲ ἔμαθέ τις τὰ θεῖα, καὶ θαυμάσια ἐλάλησε· μᾶλλον προέκοψε τῷ καταλιπεῖν πάντα, ἢ τῷ σπουδάσαι περίλεπτα. ἀλλὰ μὴν τοῖς μὲν κοινὰ, τοῖς δ' ἴδια λαλῶ· ἄλλοις ἐν σημείοις καὶ τύποις ἡδέως φαίνομαι, ἐνίοις δὲ μεγάλῳ φωτὶ τὰ μυστήρια ἀποκαλύπτω. μία μὲν φωνὴ τῶν βίβλων, πάντας δὲ οὐκ ἴσως παιδεύει· ὅτι αὐτός εἰμι διδάσκαλος, ἀλήθεια, καρδιογνώστης, νοητὴς τῶν λογισμῶν, προσμ-ραστὴς τῶν πράξεων, διανέμων ἑκάστοις, καθὼς ἂν ἄξιον κρίνω.

---

## Κεφ: μδ.

## Περὶ τοῦ μὴ ἑαυτῷ ἐφέλκειν τὰ ἔξω.

α. Τέκνον, ἐν πολλοῖς δεῖ εἶναί σε ἀγνοοῦντα, καὶ νομίζειν ἀποθανόντα σε ἐπὶ τῆς γῆς, καί σοι ὅλον τὸν κόσμον σταυρωθέντα. ἔτι δὲ, χρὴ πολλὰ παρακοῦσαι, καὶ τὰ τῆς εἰρήνης σου μᾶλλον

ἐνθυμείας. ὠφελιμώτερόν ἐστι τοὺς ὀφθαλμοὺς ἀπὸ τῶν δυσαρεστούντων ἀποστρέφειν, καὶ ἑκάστῳ τὸ δοκοῦν αὐτῷ καταλείπειν, ἢ τοὺς ἐριστικοὺς λόγους σχολάζειν. ἐὰν καλῶς ἔχῃς πρὸς τὸν θεόν, καὶ τὸ κρίμα αὐτοῦ σκοπήσῃς, τὸ ἡττᾶσθαι ῥᾷον ὑπομενεῖς.

---

β. Ὦ κύριε, ποῦ ἤλθομεν; ἰδοὺ τὴν πρόσκαιρον βλάβην καταδακρύομεν, ὑπὲρ ὀλίγου μὲν κέρδους πονοῦντες καὶ τρέχοντες, τῆς δὲ ζημίας τῆς πνευματικῆς ἀμνημονοῦντες, καὶ μόγις ὀψὲ ἀναστρέφοντες. τῷ μικρὸν ἢ μηδὲν ἡμᾶς ὠφελοῦντι τὸν νοῦν προσέχομεν, καὶ τοῦ ἀναγκαιοτάτου ὀλιγωροῦμεν. ὅλος γὰρ ὁ ἄνθρωπος εἰς τὰ ἔξω δέρεται, καὶ ἂν μὴ ταχέως μετανοήσῃ ἡδέως ἐν αὐτοῖς κεῖται.

---

## Κεφ: με.

### Ὅτι οὐ πᾶσι πιστευτέον· καὶ περὶ τοῦ ῥᾳδίου πταίσματος τῶν ῥημάτων.

α. Δός μοι, κύριε, βοήθειαν ἐκ θλίψεως, ὅτι ματαία σωτηρία ἀνθρώπου. ποσάκις τὴν πίστιν οὐχ εὗρον, ὅπου ἐνόμισα ἔχειν; ποσάκις καὶ ἐκεῖ εὗρον, ὅπου ἧττον ἔδοξα; ματαία τοίνυν ἡ ἐλπὶς ἐν τοῖς ἀνθρώποις, ἡ δὲ σωτηρία τῶν δικαίων ἐν σοὶ ὁ θεός. εὐλο-

βιβ: γ. κεφ: μϛ. σιγμὴ ά. αχπγ. ί σχ. μ: β-

γήθητι σὺ κύριε, ὁ θεός μου, ἐν πᾶσι τοῖς
συμβαίνουσιν ἡμῖν. ἀσθενεῖς καὶ ἀσταθεῖς
γινόμεθα, ταχέως ἀπατώμεθα, καὶ
μεταλλαττόμεθα.

ια. γ.

β. Τίς ἐστιν ὁ ἄνθρωπος ὁ οὕτω πεφυ-
λαγμένος καὶ περιεσκεμμένος ἐν πᾶσιν
ἔχειν δυνάμενος, ὅπως εἰς ἀπάτην καὶ
ἀμηχανίαν τινά ποτε οὐκ ἔλθῃ; ὁ δὲ ἐ-
πί σε κύριε πεποιθὼς καὶ ἁπλῇ καρδίᾳ
σε ζητῶν, οὐκ οὕτω ῥᾳδίως ὀλισθαίνει.
ἐὰν δ' εἰς θλίψιν τινὰ ἐμπέσῃ, ὁπωσοῦν
ἂν ἐμπλεχθῇ, τάχιον ὑπὸ σοῦ λυτρω-
θήσεται ἢ παρακληθήσεται· ὅτι σὺ οὐ
καταλείπεις τὸν ἐλπίζοντα ἐπί σε εἰς τέ-
λος. σπάνιος ὁ πιστὸς φίλος ἐν πάσαις ἀ-
θλιότησι τοῦ φίλου διατελῶν. σὺ κύριε,
σὺ μόνος πιστότατος ἐν πᾶσι, καὶ πλήν
σου οὐκ ἔστιν ἕτερος τοιοῦτος.

γ. Πῶς εὖ ἐφρόνησεν ἁγία ἐκείνη ψυ-
χὴ, ἡ λέξασα· ὁ νοῦς μου ἐστερέωται, καὶ
ἐν τῷ χριστῷ ἐθεμελιώθη. εἰ οὕτως εἶχ-
ον, οὐκ ἂν τοσαύτην φροντίδα ὁ φόβος
ἀνθρώπινος μοι εἰργάζετο, οὐδὲ τὰ
τῶν ῥημάτων βέλη με ἐκίνει. τίς

πάντα προορᾶν, τίς τὰ ἐσόμενα κα-
κὰ προφυλάττεσθαι οἷός τε γίνεται; εἰ
πολλάκις καὶ τὰ προεωραμένα βλάπτει,
πῶς οὐ φανερῶς τὰ ἀπροόρατα ~~βλάπτει~~
παίει; ἀλλὰ διὰ τί ~~οὕτω κακῶς~~ ἐμαυ-
τὸν ταλαιπωρῶ οὐ βέλτιον προὐνόησθαι;
διὰ τί οὕτω κακῶς τοῖς ἄλλοις ἐπίσ-
τευσα; ἀλλὰ μὴν ἄνθρωποι ἐσμέν,
καὶ γὰρ ἄλλοι πλὴν ἄνθρωποι ἀσθενεῖς τυγ-
χάνομεν, καίπερ πολλοὺς ἀγγέλους δο-
κοῦντες καὶ λεγόμενοι. τίνι ἂν πιστεῦσαι
χρή; τίνι δὲ μὴ θοί; ἀλήθεια ὑπάρχει
ἡ μήτ' ἀπατῶσθαι μήτ' ἀπατᾶσθαι δυναμέ-
νη. καὶ πάλιν· πᾶς ἄνθρωπος ψεύστης, ἀσθε-
νής, ἀσταθὴς καὶ ὀλ[illegible]ιαηρός. μάλιστα δὲ τοῖς
λόγοις· ὅπως μόλις εὐθέως πιστεύειν
δέῃ ὅ,τι κατ' ἄλλος ἐν ἠχεῖν φαίνεται.

---

δ. Ὡς δεόντως προπαρῄνεσας φυλάξ-
ασθαι ἀπὸ τῶν ἀνθρώπων, ὅτι ἐχθροὶ τοῦ
ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ, καὶ οὐ πιστεύειν,
ἐάν τις εἴπῃ· ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ. ἐπαι-
δεύθην τῇ βλάβῃ μου, καὶ εἴθε εἰς τὴν μείζω
προφυλακὴν καὶ οὐκ εἰς ἄνοιαν ἐμοί· φυλάττου
(φησί τις,) φυλάττου, τήρει παρὰ σοί, ὅ,τι
λέγω. ἐμοῦ δὲ σιωπῶντος, καὶ ἀποκρύπτε-
σθαι ἡγουμένου, καὶ αὐτὸς σιωπᾶν οὐ δύναται,
ὃ σιωπᾶσθαι ἠξίωσεν, ἀλλ' εὐθέως ἐμὲ

βιβ: γ. κεφ: μγ. σιγμὴ φ. αχπγ. ια Σκιρρ. γ.
καὶ ἑαυτὸν ἐξανορεύσας ἀπῆλθεν. ἀπὸ τοιούτων μύθων καὶ ἀπονοήτων ἀνθρώπων φύλαξόν με κύριε, τοῦ μὴ ταῖς χερσὶν αὐτῶν περιπεσεῖν, μηδὲ τοιαῦτά ποτε πλημμελεῖν. λόγον ἀληθῆ καὶ βέβαιον δὸς εἰς τὸ στόμα μου, καὶ γλῶτταν δολίαν ἀπ' ἐμοῦ μάκρυνε· ὅπερ πάσχειν οὐκ ἐθέλω, πάντως φυλάττειν ὀφείλω.

---

ε. Ὡς ἀγαθὸν καὶ εἰρηνικόν ἐστι περὶ τῶν ἄλλων σιγῆσαι, καὶ οὐ πάντα ἀδιακρίτως πιστεῦσαι, οὐδὲ κούφως περαιτέρω ἐξαγορεῦσαι, ὀλίγοις ἑαυτὸν ἀποκαλύψαι, σὲ τὸν καρδιογνώστην ὄντα ἀεὶ ζητῆσαι, οὐδὲ παντὶ ἀνέμῳ τῶν λόγων περιενεχθῆναι, ἀλλὰ τά τε ἔσω, καὶ τὰ ἔξω κατὰ ~~τὴν~~ τὴν εὐδοκίαν σοῦ ποθῆσαι ἀποτελεσθῆναι. ὡς ἀσφαλὲς ὑπὲρ τοῦ διαφυλάξαι τὴν οὐράνιον χάριν, τὸ ~~τὸ~~ τοῖς ἀνθρώποις φαίνεσθαι φεύγειν, οὐδὲ τὰ τοῖς ἀνθρώποις ἔξωθεν θαύματος ἄξια δοκοῦντα γλίχεσθαι, ἀλλὰ τὰ τὴν τοῦ βίου ἐπανόρθωσιν καὶ ζῆλον παρέχοντα, ἐπιμελέστατον διώκειν.

---

ϛ. Πόσοις ἡ ἀρετὴ, γνωσθεῖσα, καὶ λίαν ταχέως ἐπαινεθεῖσα ἔβλαψεν; ὡς

δὴ ὠφέλησεν ἡ χάρις σιωπηθεῖσα ἐν
τούτῳ τῷ ἐνδεχαύστῳ βίῳ, ὅσπερ ὅλος
πειρασμὸς καὶ στρατεία λέγεται;

---

ιβ. δ. Κεφ: μϛ.

## Περὶ τῆς πεποιθήσεως τῆς ἐπὶ τῷ θεῷ, τῶν βελῶν τῶν ῥημάτων ἐπιβαλλομένων.

α. Τέκνον ἀνδρίζου, καὶ ἐπ' ἐμὲ ἔλπιζε,
τί γὰρ ἄλλο οἱ λόγοι εἰσὶν ἢ λόγοι; διὰ τοῦ
μὲν ἀέρος πέτανται, λίθον δὲ οὐ βλά-
πτουσιν. εἰ ὑπεύθυνος εἶ, ἐννόει ὅτι ἑκου-
σίως ἐπανορθοῦν σε ἐθέλεις. εἰ δ' οὐδὲν
σοι σύνοιδας, ἐνθυμοῦ ὅτι ἀσμένως ὑ-
πὲρ τοῦ θεοῦ τοῦτο ὑπομένειν ἐθέλεις.
ἱκανῶς ὀλίγον ἐστὶν, μόνον τοὺς λόγους
σέ ποτε καρτερεῖν, ὁ οὔπω δυνατὰς πλη-
γὰς πάσχειν δυνάμενος. διὰ τί δὲ οὕτω
μικρὰ ὄντα τὴν καρδίαν σου λυπεῖ,
πλὴν ὅτι σαρκικὸς ἔτι τυγχάνεις, καὶ μᾶλ-
λον τοῦ δέοντος λόγον τῶν ἀνθρώπων
ἔχεις; ὅτι γὰρ καταφρονεῖσθαι φοβῇ, διὰ
τὰ πλημμελήματα ψέγεσθαι οὐκ ἐθέλεις,
καὶ τὰ τῶν ἀπολογιῶν σκιάδια ἐπιζητεῖς.

---

β. Ἀλλ' ἔφορα σε ἀκριβέστερον, καὶ γνώσῃ
ὅτι ἐν σοι ἔτι ζῇ ὁ κόσμος, καὶ ἡ κενοσπου-
δία τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις. ἐν
τῷ γὰρ ταπεινοῦσθαι, καὶ διὰ τὰ ἐλλάμ-

βιβ: γ. κεφ: μϛ. στιγμὴ β. αχπγ. ιβ Σὺ ῥή-
ματα κατεσχύνεσθαι, φεύγειν, δηλὸν
γε ὅτι οὐκ ἀληθῶς ταπεινὸς εἶ, οὐδ' ὄν-
τως τῷ κόσμῳ ἀπέθανες, οὐδέ σοι ὁ
κόσμος ἐσταυρώθη. Καίτοι ἄκουσον
τοῦ λόγου μου, καὶ οὐ μελήσει σοι μυρί-
ων ῥημάτων τῶν ἀνθρώπων. ἰδοὺ, εἰ
πάντα κατά σοῦ ἐλέγετο, ἅτινα ἂν
δυνατόν ἐστι πονηρότατα πλάττεσθαι, τί
σε ἔβλαπτεν, εἰ πάντως παρελθεῖν εἴ-
ασ, καὶ περὶ οὐδενὸς ἐποιοῦ; ἆρα μίαν γε
τρίχα ἐκτίλλειν σοι ἐδύναντο;

---

γ. Ἀλλὰ μὴν ὁ ἔσω ἀκάρδιος ὤν, καὶ
τὸν θεὸν ἐνώπιον αὐτοῦ οὐ προτιθεὶς,
ῥαδίως τῷ τῆς μέμψεως λόγῳ κινεῖται.
ὁ δὲ μοὶ πεποιθὼς, καὶ ἐπὶ τῇ σοφίᾳ
αὐτοῦ ἐπερείδεσθαι οὐκ ἐπιθυμῶν, τοῦ
φόβου ἀνθρωπίνου ἀπαλλαγήσεται.
ἐγὼ γάρ κριτής, καὶ πάντων ἀπορρήτων
γνώστης τυγχάνω. ἐγὼ οἶδα πῶς τὸ
ἔργον ἐπράχθη. ἐγὼ τὸν ἀδικοῦντα καὶ
ἀδικούμενον γινώσκω. παρ' ἐμοῦ οὗτος
ὁ λόγος ἐξῆλθεν, ἐμοῦ ἐῶντος, τοῦτο συν-
έβη, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν
καρδιῶν διαλογισμοί. ἐγὼ μὲν τὸν
ἔνοχον, καὶ ἄκακον κρινῶ, τῇ δὲ ἀποκρύ-

φῳ κρίσει ἀμφότερον ἔμπροσθεν δο-
κιμάζειν ἐθέλησε.

---

δ. Ἡ τῶν ἀνθρώπων μαρτυρία πολλάκις
ψεύδεται, ἀλλ' ἡ κρίσις μου ἀληθὴς οὖσα
στήσεται, καὶ οὐ καταστραφήσεται. ἐπὶ τὸ
πολὺ λανθάνει, καὶ ὀλίγοις καθ' ἕκαστα
φανεροῦται, ὅμως οὔποτε σφάλλεται, οὐδὲ
σφάλλεσθαι οἷά τ' ἐστίν, εἰ καὶ τοῖς τῶν ἀνο-
ήτων ὀφθαλμοῖς οὐκ εὐθεῖα δοκεῖ. δεῖ
οὖν ἐν παντὶ κρίματι πρὸς ἐμὲ τρέχειν,
καὶ ἐν ἰδίᾳ γνώμῃ οὐ στηρίζεσθαι. ὁ δίκαιος
οὐ λυπηθήσεται, ὅτι οὖν ἂν αὐτῷ παρὰ
τοῦ θεοῦ συμβῇ. εἰ καὶ ἀδίκως τι κατ' αὐ-
τοῦ λεχθήσεται, οὐ πολὺ μελήσει αὐτῷ.
πλὴν οὐδὲ ματαίως ἀγαλλιάσεται, εἴ τινι
ὑπὲρ αὐτοῦ εὐλόγως ἀπολογήσεται.
ἐνθυμεῖται γὰρ ὅτι ἐγὼ καρδίας, καὶ
νεφροὺς ἐτάζω, οὐδὲ κατ' ὄψιν καὶ φαντα-
σίαν ἀνθρωπίνην κρίνω. πολλάκις γὰρ
ἐνώπιόν μου εὑρίσκεται ἐπίμεμπτον,
ὅτι τῇ τῶν ἀνθρώπων κρίσει ἐπαινε-
τὸν νομίζεται.

---

ε. Κύριε ὁ θεός, κριτὰ δίκαιε, ἰσχυρὲ
καὶ μακρόθυμε, ὁ τὴν ἀσθένειαν, καὶ πο-
νηρίαν τῶν ἀνθρώπων εἰδώς, ἔσο ῥώ-
μη μου, καὶ ὅλη πεποίθησίς μου. οὐ γὰρ
ἡ συνείδησίς μου ἀρκεῖ μοι. σὺ οἶδας

ὅτι ἐγὼ οὐκ οἶδα, καὶ διὰ ταῦτα ἐν πάσῃ
ἐπιτιμήσει ταπεινῶσαί με, καὶ πράως
ὑπομεῖναι ὤφειλον. ἔτι ἱλάσθητί μοι,
ὁποσάκις οὕτως οὐκ ἐποίησα, καὶ δώρησαι
πάλιν τὴν τῆς μείζονος ὑπομονῆς χά-
ριν. τὸ γὰρ πολὺ ἔλεός σου εἰς τὸ τῆς συγ-
γνώμης ἐπιτυχεῖν βέλτιόν μοί ἐστι,
τῆς νομιζομένης δικαιοσύνης μου, εἰς
τὸ ἀπολογήσασθαι ὑπὲρ ἀποκρυπτομέ-
νης συνειδήσεως. εἰ γὰρ καὶ οὐδὲν μοι
σύνοιδα, ὅμως ἐν τούτῳ οὐ δικαιοῦσθαί
με δύναμαι, ὅτι ἀποχωρισθέν-
τος ἐλέους σου, οὐ δικαιωθήσεται ἐνώπι-
όν σου πᾶς ζῶν.

---

## Κεφ: μζ.

### Ὅτι πάντα τὰ δεινὰ ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀνεκτέον.

α. Τέκνον, μὴ καταγνύτωσάν σε οἱ πό-
νοι οὓς δι' ἐμὲ ἦρας, οὐδὲ αἱ θλίψεις κα-
ταβαλλέτωσαν εἰς τέλος· ἀλλ' ἡ ἐπαγ-
γελία μου ἐν πάσῃ ἀποβάσει σε κραται-
ούτω καὶ παρακαλείτω. ἐγὼ ἀρκῶ πρὸς
τὸ ἀποδοῦναι, ὑπὲρ πάντα τρόπον καὶ
μέτρον. οὐ πολὺν χρόνον ἐνθάδε
πονήσεις, οὐδ' ἀεὶ βαρυνθήσῃ ταῖς ὀ-
δύναις. προσδόκα μικρόν, καὶ βλέψεις
τὸ ὀξὺ τέλος τῶν κακῶν. ἐλεύσεται
μία ὥρα, ὅτε ἅπας πόνος καὶ θόρυβος

λήξει. μικρὸν ἢ βραχύ ἐστι πᾶν τὸ χρόνῳ συμπαλαιούμενον.

---

β. Ποίησον ὃ ποιεῖς, πιστῶς πόνησον ἐν τῷ ἀμπελῶνί μου, ἐγὼ ἔσομαι ὁ μισθός σου· γράψον, ἀνάγνωθι, ᾆσον, στέναξον, σίγησον, πρόσευξαι, ὑπόμενον ἀνδρείως τὰ ἐναντιούμενα. ἡ ζωὴ αἰώνιος πάντων τούτων καὶ μειζόνων πολέμων ἀξία ἐστίν. ἐλεύσεται ἡ εἰρήνη ἐν ἡμέρα μιᾷ, ἥτις ἐγνώσθη τῷ κυρίῳ καὶ ἔσται οὐχ ἡμέρα, οὐδὲ νὺξ τούτου δήπου χρόνου, ἀλλὰ φῶς αἰώνιον, λαμπρότης ἄπειρος, εἰρήνη βεβαία, καὶ ἀνάπαυσις ἀσφαλής. οὐ λέξεις τότε· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; οὐδὲ κεκράξῃ· οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη· ὅτι ὁ θάνατος κατακρημνισθήσεται, καὶ ἡ σωτηρία ἀνελλιπὴς ἔσται, ἀδημονία οὐδεμία, τερπνότης μακαρία, ἑταιρία ἡδεῖα καὶ εὐπρεπής.

---

γ. Ὄφελον ἴδοις τοὺς τῶν ἁγίων αἰωνίους στεφάνους ἐν τῷ οὐρανῷ, ὁπόσῃ δόξῃ νῦν ἀγαλλιῶνται ε. οἱ τῷ κόσμῳ τούτῳ πάλαι εὐκαταφρόνητοι, καὶ τῆς ζωῆς ἀνάξιοι εἶναι δόξαντες· εὐθέως δὴ ἂν σὺ ἕως τῆς γῆς ἐταπείνους, καὶ μᾶλλον ~~ὑπὲρ τοῦ θεοῦ~~ ἀντεποιοῦ τοῦ πᾶσιν ὑποτάττεσθαι, ἢ ἑνὶ ἐπιστατεῖν. καὶ τῶν τῆς ζωῆς ταύτης ἱλαρῶν ἡμερῶν οὐκ ἐπεθύμεις, ἀλλὰ μᾶλλον ὑπὲρ τοῦ θεοῦ θλίβεσθαι ἔχαιρες, καὶ μεταξὺ τῶν ἀνθρώπων

βιβ: γ. κεφ: μζ. στιχ: γ. α. χπγ. ιγ. ζιφ: ε.
οὐδενὸς τι μάθῃς, μέγιστον κέρδος ἐνόμιζες.

---

δ. Εἴθε ταῦτά σοι ἐγλυκαίνοιτο, καὶ βαθέως τῆς καρδίας ἐξεκνοῖτο· πῶς ἂν ἅπαξ γε ἐτόλμας μεμψιμοιρεῖν; οὐχὶ ὑπὲρ τῆς αἰωνίου ζωῆς πάντα ἐπίπονα ἀνεκτέον; οὐ μικρόν ἐστιν ἀπολέσαι ἢ κερδῆσαι τὴν βασιλείαν τοῦ θεοῦ. Ἆρον οὖν τὸ πρόσωπόν σου εἰς τὸν οὐρανόν. Ἰδοὺ ἐγὼ καὶ πάντες οἱ ἅγιοί μου σὺν ὄντες μοι, καὶ ἐν τῷ κόσμῳ τούτῳ μέγαν ἀγῶνα ποιησάμενοι, νυνὶ χαίρουσι, νυνὶ παρακαλοῦνται, νυνὶ ἀσφαλῶς ἔχουσι, νυνὶ ἀναπαύονται, καὶ ἀπεράντως μετά μου ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου διαμενοῦσι.

---

## Κεφ: μη.

### Περὶ τῆς ἡμέρας τῆς ἀϊδιότητος, καὶ τῶν στενοχωριῶν τοῦ βίου τούτου.

α. Ὦ μονὴ μακαριωτάτη τῆς ἄνω πόλεως· ὦ ἡμέρα λαμπροτάτη τῆς ἀϊδιότητος, ἥντινα ἡ νὺξ οὐ σκοτίζει, ἀλλ' ὑπερτάτη ἀλήθεια πάντοτε ἀκτῖσι περικυκλοῖ, ἡμέρα ἀεὶ ἱλαρά, ἀεὶ ἀσφαλής, καὶ μηδέποτε τὴν κατάστασιν εἰς τοὐναντίον μεταβάλλουσα. Εἴθε ἐκείνη ἡ ἡμέρα ἐπέλαμψε, καὶ πάντα τάδε πρόσκαιρα ἐτελέσθη. Λάμπει μὲν τοῖς ἁγίοις τῷ αἰωνίῳ ἐπαυγάσματι στίλβουσα, ἀλλ' οὐ τοῖς ἐπὶ τῆς γῆς ἀποδημοῦσιν, εἰ μὴ μακρόθεν, καὶ δι' ἐσόπτρου.

β. Γινώσκουσιν οἱ τοῦ οὐρανοῦ πολῖται, ὡς ἡ μὲν πολυγηθής ἐστι, ταύτην δὲ μικρὰν καὶ πονηρὰν ἔσαν οἱ τῆς Εὔας ἐξόριστοι παῖδες στενάζουσιν. αἱ τούτου τοῦ χρόνου ἡμέραι μικραὶ καὶ πονηραὶ, καὶ πλήρεις τῶν ὀδυνῶν καὶ στενοχωριῶν. ὅπου ὁ ἄνθρωπος πολλαῖς ἁμαρτίαις μολύνεται, πολλοῖς πάθεσι περιβάλλεται, πολλοῖς φόβοις πιέζεται, πολλαῖς μερίμναις περισπᾶται, πολλαῖς περιεργίαις διαμερίζεται, πολλαῖς ματαιότησιν ἐμπλέκεται, πολλοῖς σφάλμασι περιχέεται, πολλοῖς καμάτοις συντρίβεται, τοῖς πειρασμοῖς βαρύνεται, ταῖς τρυφαῖς μαλακίζεται, τῇ ἐνδείᾳ ὀδυνᾶται.

---

γ. Ὦ πότε τὸ τέλος τῶν κακῶν τούτων γενήσεται; πότε τῆς ἀθλίας δουλείας τῶν ἁμαρτιῶν ἐλευθερωθήσομαι; πότε σοῦ μόνου μνησθήσομαι; πότε ἐκπλέως ἐπὶ σοὶ χαρήσομαι; πότε ἐν τῇ ἀληθινῇ ἐλευθερίᾳ ἄνευ πάσης βαρύτητος τῆς ψυχῆς καὶ τοῦ σώματος ἀνεμπόδιστος ἔσομαι; πότε ἔσται ἡ εἰρήνη βεβαία, εἰρήνη ἀτάραχος, καὶ ἀσφαλής, εἰρήνη ἔσω καὶ ἔξω, εἰρήνη πανταχόθεν στερεά; ὦ Ἰησοῦ ἀγαθὲ, πότε στήσομαι τοῦ ὁρᾷν σε; πότε θεωρήσω τὴν δόξαν τῆς βασιλείας σου; πότε μοι τὰ πάντα ἐν πᾶσιν ἔσῃ; ὦ πότε μετὰ σοῦ ἔσομαι ἐν τῇ βασιλείᾳ σου ἣν τοῖς ἀγαπητοῖς ἑτοίμασας ἀπ' αἰῶνος; κατελείφθην πένης καὶ φυγὰς ἐν τῇ πολεμίᾳ, ὅπου μάχαι

βιβ: γ. κεφ: μή. στίχ. γ. ἀχπγ. ἰγ Σχιμ: ε.
καθημερινῶν κατορθώματα μέγιστα.

---

δ. Παραμυθοῦ τὴν δυναστείαν μου, καταπραΰνε τὴν ὀδύνην μου, ὅτι πρὸς σὲ πᾶσα ἡ ἐπιθυμία μου στενάζει. βάρος γὰρ πᾶν ἐστιν, ὅ,τι ὁ κόσμος οὗτος εἰς παραμυθίαν πορίζει. ἐπιθυμῶ σοῦ ἐνδότατα ἀπολαύσαι, ἀλλ' οὐ δύναμαι καταλαβεῖν. εὔχομαι τοῖς ἐπουρανίοις συνάπτειν, ἀλλὰ τὰ πρόσκαιρα, καὶ τὰ πάθη οὐ νεκρωτὰ βρίθει. τῇ ψυχῇ μὲν πάντων περιγίνεσθαι ἐθέλω, τῇ δὲ σαρκὶ ἄκοντι ὑποτάττεσθαι ἀναγκάζομαι. τοῦτον τρόπον ἐγὼ ταλαίπωρος ἄνθρωπος μάχομαί μοι, καὶ ἐμοὶ φορτικὸς γέγονα, τοῦ μὲν πνεύματος ἄνω, τοῦ δὲ σαρκὸς κάτω εἶναι ἐπιποθούσης.

---

ε. Ω τί ἐντὸς πάσχω, τὰ οὐράνια διανοούμενος, ὅτε εὐθέως ὁ τῶν σαρκικῶν ὄχλος μοι προσευχομένῳ ὑπέρχεται. ὁ θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ, μηδ' ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. ἄστραψον τὴν ἀστραπήν σου, καὶ διασκόρπισον αὐτά. ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταραττέσθωσαν πᾶσαι φαντασίαι τοῦ ἐχθροῦ. συνάγαγε τὰς αἰσθήσεις μου πρός σε. ποίησόν με ἀμνημονεῖν πάντων τῶν κοσμικῶν. παράσχου ταχέως ἀποβάλλειν, καὶ καταφρονεῖν πάντα φαντάσματα τῶν κακιῶν. βοήθησόν μοι αἰώνιε ἀλήθεια, ἵνα μή με κινήσῃ ἡ ματαιότης.

ἐλθὲ αἰώνιε ἡδύτης καὶ φυγέτω ἐνώπιόν σου πᾶσα ἀκαθαρσία. πρὸς τούτοις συγγνῶθί μοι, καὶ ἐλεημόνως χάρισαι, ὁποσάκις ἄλλο πλὴν σοῦ ἐν προσευχῇ διανοοῦμαι. ὁμολογῶ γὰρ ἀληθῶς, ὅτι σφόδρα διασπασθῆναι εἴωθα. πολλάκις γὰρ ἐκεῖ οὐκ εἰμί, ὅπου σωματικῶς ἵσταμαι, ἢ καθίζω, ἀλλὰ μᾶλλον ἐκεῖ εἰμι, ὅποι τοῖς λογισμοῖς φέρομαι. ἐκεῖ εἰμι, ὅπου ὁ ἐμὸς λογισμός ἐστιν. ἐκεῖ συχνῶς ὁ λογισμός μου ἐστίν, ὅπου τὸ ἀγαπώμενόν μοι ἐστί. τοῦτο ταχέως ἐπέρχεταί μοι, ὅ,τι φυσικῶς με τέρπει, ἢ ἐκ τῆς χρήσεως ἀρέσκει.

---

5. Ὅθεν σὺ ἀλήθεια σαφῶς εἶπες· ὅπου γὰρ ἔστιν ὁ θησαυρός σου, ἐκεῖ ἐστι καὶ ἡ καρδία σου. εἰ τὸν οὐρανὸν ἀγαπῶ, ἀσμένως τὰ οὐράνια ἐννοῶ. εἰ τὸν κόσμον ἀγαπῶ, τοῖς τοῦ κόσμου εὐτυχήμασι συνήδομαι, καὶ ἐπὶ τοῖς ἀτυχήμασι λυποῦμαι. εἰ τὴν σάρκα ἀγαπῶ, τὰ τῆς σαρκὸς πολλάκις φαντάζομαι. εἰ τὸ πνεῦμα ἀγαπῶ, τῷ τὰ πνευματικὰ λογίζεσθαι τέρπομαι. ἅτινα οὖν γὰρ ἀγαπῶ, περὶ τούτων ἑκοντὶ λαλῶ καὶ ἀκούω, καὶ αὐτῶν φαντάσματα μετ' ἐμοῦ οἴκαδε ἀνακομί- -ε ρεῦ. ζω. ἀλλὰ μακάριος ὁ ἄνθρωπος, ὃς διά σε, κύριε, πᾶσι κτίσμασιν ἀποτάττε- ται, καὶ τὴν φύσιν βιώμενος, τὰς τῆς σαι, σαρκὸς ἐπιθυμίας τῇ πνεύματος ἰσχύϊ

βιβ: γ. κεφ: μη. στιγμὴ ϛ. αχπγ. ιθ. Σχισ: ϛ.

ζεσθαι σταυροῦ. ἵνα τῇ γαληνοτάτῃ συμμελῴδει τὴν καθαρὰν προσευχὴν σοι προσενέγκαι, καὶ τοῖς ἀγγελικοῖς χοροῖς παρεῖναι ἀξιωθῇ, πάντων τῶν ἐπιγείων ἔσω καὶ ἔξω ἀποκλεισθέντων.

## Κεφ: μθ.

### Περὶ τῆς ποθήσεως τοῦ αἰωνίου βίου, καὶ ὁπόσα ἀγαθὰ τοῖς ἀγωνιζομένοις ἐπηγγέλθη.

α. Τέκνον, ὅτε τὴν πόθησιν τοῦ αἰωνίου ζωῆς ἄνωθεν σοι ἐγχυθεῖσαν αἰσθάνῃ, καὶ ἐκ τῆς σκηνῆς τοῦ σώματος ἐξελθεῖν ἐπιθυμεῖς, ἵνα τὴν δόξαν μου ἄνευ ἀποσκιάσματος τῆς τροπῆς θεωρῆσαι δυνηθῇς· πλάτυνον τὴν καρδίαν σου, καὶ πάσῃ ἐπιθυμίᾳ τὴν ἁγίαν ταύτην ἐμπνοίαν ἀνάδεξαι. τῇ ἄνω ἀγαθότητι ὡς μάλιστα εὐχαρίστησον, ἥτις οὕτως εὐμενῶς σοι προσφέρεται, προσηνῶς ἐπισκέπτεται, ζεστῶς ἐγείρει, δυνατῶς ὑπεξαίρει, τοῦ μὴ ἰδίῳ βάρει εἰς τὰ ἐπίγεια ὀλισθαίνειν. οὐ γὰρ τοῦτο τῇ διανοίᾳ, ἢ τῇ ἐπιχειρήσει σου λαμβάνεις, ἀλλὰ τῇ μόνῃ ἀξιώσει τῆς ἄνω χάριτος, καὶ τῆς θείας ἐπόψεως, ἵν' εἰς τὰς ἀρετὰς καὶ μείζω ταπεινότητα ἐπιδῷς, καὶ εἰς τοὺς μέλλοντας ἀγῶνας σε ἑτοιμάσῃς, ὅλῃ τε διαθέσει τῆς καρδίας μοι συνάψῃς καὶ ζεστῇ βουλήσει δουλεῦσαι ἐπιχειρήσῃς.

β. Τέκνον, πολλάκις τὸ πῦρ ἀνάπτεται, ἀλλ᾽ ἄ-
νευ τοῦ καπνοῦ ἡ φλὸξ οὐκ ἀναβαίνει. οὕτω καὶ ἐπι-
θυμίαι τινῶν ἐπὶ τὰ οὐράνια φέρονται, ἀλλ᾽ ὅ-
μως τοῦ πειρασμοῦ τοῦ σαρκικοῦ παθήματος οὐκ
εἰσὶν ἐλεύθεραι. διόπερ οὐ πάντως εἰλικρινῶς
ὑπὲρ τῆς τοῦ θεοῦ δόξης πράττουσιν, ὅ,τι οὕτω
θερμῶς παρ᾽ αὐτοῦ αἰτοῦσι. τοιαύτη ἐστὶ πολλά-
κις καὶ ἡ ἐπιθυμία σου, ἣν ἔσεσθαι οὕτως ἄκαιρον
ἐπέδειξας. οὐ γάρ ἐστι καθαρὸν καὶ τέλειον, ὅ,τι
τῇ ἰδίᾳ ὠφελείᾳ διεφθάρθη.

γ. Αἴτησον, οὐ τὸ τερπνὸν καὶ ὠφέλιμόν σοι, ἀλλὰ
τὸ εὐπρόσδεκτον καὶ ἔντιμόν μοι γινόμενον.
εἰ γὰρ εὖ φρονεῖς, τὴν διάταξίν μου περὶ πλεί-
ονος ἡγεῖσθαι, καὶ μᾶλλον διώκειν ὀφείλεις τοῦ πο-
θήσεώς σου, καὶ παντὸς τοῦ πεποθημένου. ἐγὼ
γινώσκω τὴν πόθησίν σου, καὶ τῶν συχνῶν στεναγμῶν
ἤκουσα. νῦν βούλοιο ἂν εἶναι ἐν τῇ ἐλευθερίᾳ
τῆς δόξης τῶν υἱῶν τοῦ θεοῦ· νῦν τέρπει σε ἡ
αἰώνιος οἰκία, καὶ ἡ οὐράνιος πατρὶς πλήρης τῆς
χαρᾶς, οὔπω δὲ ἡ ὥρα αὕτη ἦλθεν, ἀλλ᾽ ἔτι
ἄλλος χρόνος ἐστὶν, ὁ χρόνος δήπου τοῦ πολέ-
μου, ὁ χρόνος τοῦ πόνου καὶ τῆς δοκιμασίας.
ποθεῖς ἀναπληροῦσθαι τοῦ μεγίστου ἀγαθοῦ, ἀλλ᾽ οὐ δύ-
νῃ τοῦτο νῦν ἐφικέσθαι. ἐγώ εἰμι, προσδόκα με,
φησὶν ὁ κύριος, ἕως ἂν ἔλθῃ ἡ βασιλεία τοῦ θεοῦ.

δ. Ἔτι δοκιμάζεσθαί σε δεῖ ἐπὶ τῆς γῆς, καὶ ἐν πολ-
λοῖς ἀσκεῖσθαι. ἡ παραμυθία ποτὲ δοθήσεταί σοι,
ἀλλ᾽ ἡ πολλὴ πλησμονὴ οὐ συγχωρηθήσεται. ἰσχύε

βίβ: γ. κεφ. μθ. στιγμὴ δ. α χπτ. ἑξῆς ε.

τοίνυν καὶ ἀνδρίζου, ὡς ἐν τῷ τε πράττειν, καὶ ἐν τῷ πάσχειν τῇ φύσει τἀναντία. ~~δεῖ σε~~ δεῖ σε ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, καὶ εἰς ἄλλον ἄνδρα μεταβάλλεσθαι. δεῖ σε πολλάκις πράττειν, ὅ,τι οὐκ ἐθέλεις, καὶ ὅ,τι θέλεις, καταλείπειν. τὸ μὲν ἄλλοις ἀρέσκον εὐτυχήσει, τὸ δὲ σοὶ ἀρέσκον, οὐ προκόψει ἐπὶ πλεῖον. τὸ ὑπ' ἄλλων λεγόμενον, ἀκουσθήσεται, τὸ δὲ ὑπὸ σοῦ λεγόμενον, ἐξουδενωθήσεται. οἱ ἕτεροι αἰτήσουσι, καὶ λήψονται· σὺ αἰτήσεις, καὶ οὐκ ἀνύσεις.

---

ε. Οἱ μὲν διαθρυλληθήσονται, σὺ δὲ σιωπηθήσῃ. ἄλλοι τοῦτο ἢ ἐκεῖνο πιστευθήσονται, σὺ δὲ εἰς μηδὲν ἰσχύειν δόξεις. διὰ τοῦτο ἡ φύσις ποτὲ λυπηθήσεται, καὶ θαύματος ἄξιον, εἰ σιωπῶν καρτερήσεις. ἐν τούτοις καὶ ἄλλοις τοῖς τοιούτοις πολλοῖς ὁ πιστὸς δοῦλος τοῦ κυρίου δοκιμάζεσθαι φιλεῖ, ὁποῖον τρόπον ἂν ἀπαρνήσασθαι καὶ ἐν πᾶσι νικῆσαι ἑαυτὸν δυνηθῇ. μόλις τοιοῦτό τι ἐστὶν, ἐν ᾧ οὕτως ἀναγκαῖόν ἀποθανεῖν σε, ὡς ἐν τῷ ὁρᾶν καὶ πάσχειν τὰ τῷ θελήματί σου ἐναντιούμενα, μάλιστα δὲ τῶν ἀναρμόστων, καὶ τῶν ἧττον ὠφελίμων εἶναί σοι δοκούντων, γένεσθαι κελευσθέντων. καὶ ὅτι ὑψηλοτέρᾳ ἐξουσίᾳ ἀντιστατεῖν οὐ τολμᾷς ὑπό τινι γινόμενος, διὰ τοῦτο σκληρόν σοι δοκεῖ, κατὰ τὸ νεῦμα ἄλλου περιπατεῖν, καὶ πᾶσαν

ἰδίαν δόξην παραλειπεῖν.

ς. Ἀλλὰ μὴν ἐνθυμοῦ, τέκνον, τὸν καρπὸν τῶν πόνων τούτων, καὶ τὸ ὀξὺ τέλος, καὶ ἄγαν μέγα ἆθλον, καὶ ἐκ τούτου οὐ φορτίον ἕξεις, ἀλλ' ἰσχυροτάτην παραμυθίαν τῆς ὑπομονῆς. ἀντὶ γὰρ τῆς μικρᾶς βουλήσεως ταύτης, νυνὶ ἑκουσίως ὑπὸ σοῦ καταλειφθείσης, τὴν βούλησίν σου πάντοτε ἐν τοῖς οὐρανοῖς ἕξεις. ἐκεῖ δὲ πάντ' εὑρήσεις, ὅ,τι ἂν βουληθῇς, καὶ ἐπιθυμεῖν δυνηθῇς. ἐκεῖ ἡ εὐπορία παντὸς ἀγαθοῦ παρέσται σοι, ἄνευ φόβου τῆς ἀπωλείας. ἐκεῖ ἡ βούλησίς σου ὁμογνωμονοῦσά μοι, μηδὲν ἀλλότριον ἢ ἴδιον ἐπιποθήσει. ἐκεῖ οὐδεὶς ἀντιταχθήσεταί σοι, μηδεὶς μέμψεταί σοι, μηδεὶς ἐμποδίσει, μηδὲν ἐναντιώσεται, ἀλλὰ πάντα ἐπιποθέντα ἅμα παρέσται, καὶ ὅλην τὴν φιλάδεσίν σου ἀναπαύσει καὶ γεμίσει ἕως ἄνω. ἐκεῖ ἀποδώσω σοι τὴν τιμὴν ἀντὶ τῆς ὕβρεως ἧς ὑπέμεινας. τὴν καταστολὴν δόξης, ἀντὶ τῆς λύπης. ἀντὶ τοῦ ἐσχάτου τόπου, τὸν θρόνον τῆς βασιλείας εἰς αἰῶνας. ἐκεῖ φανήσεται τῆς ὑπακοῆς καρπός, χαρήσεται δὲ τῆς μετανοίας πόνος, καὶ ταπεινὴ ὑποταγὴ ἐνδόξως στεφανωθήσεται.

---

15. ζ.

ζ. Νυνὶ γοῦν ταπεινῶς ὑποκλίνητι ταῖς χερσὶ πάντων, καὶ οὐ μελέτω σοι, τίς ἂν τοῦτο λέγῃ ἢ κελεύσῃ, ἀλλὰ σπούδαζε ἐπιμελῶς, ὅπως,

βιβ: γ΄. κεφ: μθ΄, στιχ. ζ΄. α΄. χ. π. γ΄. ιε΄ στιχ: ζ΄.

εἴτε προεστάτης, εἴτε νεώτερος, εἴτε ἴσος σε αἰτήσει τι, ἢ ἐννεύσει, ἐπὶ παντὶ στέρξης, καὶ εὐχαρίστῳ θελήματι ἀναπληρῶσαι σπουδάσῃς. ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο ζητείτω. ἄλλος ἐπὶ τούτῳ, ἕτερος ἐπ᾽ ἐκείνῳ καυχάσθω, καὶ μυριάκις ἐπαινείσθω· σὺ δὲ μηδὲ τούτῳ, μηδὲ ἐκείνῳ χαῖρε, ἀλλὰ τῇ σεαυτοῦ καταφρονήσει, καὶ τῇ εὐδοκίᾳ καὶ τῇ τιμῇ μου μόνου. τοῦτο ὀφείλεις εὔχεσθαι, ἵνα ὁ θεὸς ἄν τε διὰ τῆς ζωῆς, ἄν τε διὰ τοῦ θανάτου, ἀεὶ ἐν σοὶ δοξασθῇ.

## Κεφ: ν΄.

### Πῶς ἄνθρωπον ἀπαράκλητον εἰς τὰς χεῖρας τοῦ θεοῦ ἑαυτὸν προσφέρειν δεῖ.

α΄. Κύριε ὁ θεός, ἅγιε πάτερ, νῦν καὶ εἰς τὸν αἰῶνα εὐλογήθητι· ὅτι καθὼς ἐθέλεις, οὕτω γεγένηται· καὶ ὅ,τι ποιεῖς, καλόν ἐστιν. εὐφρανθήτω ἐπὶ σοὶ ὁ δοῦλός σου, οὐκ ἐφ᾽ αὐτῷ, οὐδ᾽ ἐπ᾽ ἄλλῳ τινί· ὅτι σὺ μόνος εὐφροσύνη ἀληθινή, σὺ ἐλπίς μου καὶ στέφανός μου, σὺ χαρά μου, καὶ τιμή μου, κύριε. τί ἔχει ὁ δοῦλός σου, εἰ μὴ ὅ,τι, καὶ ἄνευ ἀξίας αὐτοῦ, παρά σου ἔλαβε; σά ἐστι πάντα, ἅπερ ἔδωκας καὶ ἐποίησας. πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου. ἥ τε ψυχή μου ἕως τῶν δακρύων ποτὲ λυπεῖται, ἐφ᾽ ἑαυτῆς διὰ τὰ ἐπικείμενα πάθη ἐνίοτε διαταράττεται.

β. Ἐπιποθῶ τὴν τῆς εἰρήνης χαρὰν, τὴν
εἰρήνην τῶν υἱῶν σου ἐξαιτῶ, οἳ ἐν τῷ φωτὶ
τῆς παραμυθίας, ὑπό σου νέμονται. εἰ τὴν
εἰρήνην δίδως, εἰ τὴν ἁγίαν χαρὰν ἐγχέεις,
ἡ ψυχὴ τοῦ δούλου σου πλήρης τῆς μελῳδίας,
καὶ ἐν τῷ ἐπαίνῳ σου εὐλαβής. ἐὰν δὲ σεαυ-
τὸν ὑφελκύσῃς, καθὼς πλειστάκις εἴωθας,
τὴν ὁδὸν μὲν τῶν ἐντολῶν σου δραμεῖν
οὐ δυνήσεται, μᾶλλον δὲ εἰς τὸ τύπτειν
τὸ στῆθος, τὰ γόνατα αὐτοῦ κάμπτεται,
ὅτι οὐκ ἔστιν αὐτῷ, ὡς ἐχθὲς καὶ τρίτην ἡμέ-
ραν, ὅτε ηὔγει ὁ λύχνος σου ὑπὲρ κεφαλῆς αὐ-
τοῦ, καὶ ἐν σκέπῃ τῶν πτερύγων σου ἐσκεπάζετο
ἀπὸ πειρασμῶν ἀσφαλλόντων.

γ. Πάτερ δίκαιε, καὶ ἀεὶ ἀξιέπαινε, ἦλθεν ἡ ὥ-
ρα τοῦ δοκιμασθῆναι τὸν δοῦλόν σου. πάτερ προσ-
φιλὲς, προσῆκον τὸν δοῦλόν σου τῇ ὥρᾳ ταύτῃ
παθεῖν τι ὑπὲρ σοῦ. πάτερ ἀεὶ αἰδέσιμε, ἦλ-
θεν ἡ ὥρα, ἣν ἐσομένην ἀπ' αἰῶνος προέγνως.
ἵν' ἐπὶ μικρὸν μὲν χρόνον ὁ δοῦλός σου ἔξω
ἡττηθῇ, ἀεὶ δ' ἔσω παρά σοι ζήσῃ. μικρὸν εὐ-
τελισθήτω, ταπεινωθήτω, καὶ ἐνώπιον τῶν ἀνθρώ-
πων ἐκλειψάτω, τοῖς πάθεσι, καὶ νοσήμασιν
συντριβήτω, ἵνα πάλιν μετὰ σοῦ ἐν ἠοῖ τῆς
νέας φωτὸς ἀναστῇ καὶ ἐν τοῖς ἐπουρανίοις δοξα-
σθῇ. πάτερ ἅγιε, σὺ οὕτω διέταξας καὶ οὕτως
ἠθέλησας· καὶ τοῦτο ἐγένετο ὅτι αὐτὸς ἐ-
κέλευσας.

Αὕτη γὰρ ἡ χάρις πρὸς τὸν φίλον σου, πάσχειν καὶ θλίβεσθαι ἐν τῷ κόσμῳ ὑπὲρ τῆς ἀγάπης σου, ὁποσάκις οὖν, καὶ ὑφ᾽ οὑτινοσοῦν τοῦτο γενέσθαι ἐάσῃς. ἄνευ τῆς βουλῆς καὶ προνοίας σου, καὶ ἀναιτίως ἐπὶ τῆς γῆς μηδὲν γίνεται. ἀγαθόν μοι κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου, καὶ πάσας ἐπάρσεις τῆς καρδίας καὶ προλήψεις ἀποβάλλω. χρήσιμόν μοι, ὅτι ἡ αἰσχύνη τὸ πρόσωπόν μου ἐκάλυψεν, ἵνα μᾶλλόν σε ἢ τοὺς ἀνθρώπους εἰς παραμυθίαν ἐπιζητήσω. ἐκ τούτου καὶ τὴν ἀνεξερεύνητον κρίσιν σου φοβεῖσθαι ἔμαθον. ὃς τὸν δίκαιον σὺν τῷ ἀσεβεῖ θλίβεις, ἀλλ᾽ οὐκ ἀνόμως καὶ ἀδίκως.

---

ε. Εὐχαριστῶ σοι, ὅτι οὐκ ἐφείσω τῶν κακῶν μου, ἀλλὰ πικραῖς πληγαῖς ἐπέτριψάς με, ὀδύνας ἐμφορῶν, καὶ ἐκτὸς καὶ ἐντὸς στενοχωρῶν. οὐκ ἔστιν ὁ παρακαλῶν με ἐκ πάντων τῶν ὑπὸ τὸν οὐρανὸν γινομένων, πλὴν σὺ κύριε ὁ θεός μου, ὁ οὐράνιος ἰατρὸς τῶν ψυχῶν· ὁ μαστιγῶν καὶ ἰώμενος· ὁ κατάγων εἰς ᾅδου, καὶ ἀνάγων. ἡ παιδεία σου ὑπὲρ ἐμέ, καὶ ἡ ῥάβδος σου αὕτη με διδάξει.

---

ϛ. Ἰδοὺ πάτερ ἀγαπητὲ ἐν ταῖς χερσί σου ἐγώ εἰμι, τῇ ῥάβδῳ τῆς παιδεύσεώς σου ὑποκλίνομαι· τύπτε τὸν νῶτόν μου, καὶ τὸν τράχηλόν μου, ἵνα σκολιότητά μου εἰς τὸ θέλημά σου ἐπικάμψω. ποίησόν με

εὐλαβῆ καὶ ταπεινὸν μαθητὴν, καθάπερ σὺ εὖ εἴωθας ποιῆσαι, ἵνα πρὸς πᾶν τὸ νεῦμά σου περιπατήσω. σοὶ ἐμὲ καὶ πάντα τὰ ἐμὰ εἰς τὸ παιδεύεσθαι ἐπιτρέπω. βέλτιον γάρ ἐστιν ἐνθάδε παιδεύεσθαι, ἢ ἐν τῷ μέλλοντι. σὺ γινώσκεις πάντα καὶ ἕκαστα, καὶ ἐν τῇ ἀνθρωπίνῃ συνειδήσει μηδὲν σε λανθάνει. πρὸ τοῦ γίνεσθαι, οἶδας τὰ μέλλοντα, καὶ οὐ χρείαν ἔχεις, ἵνα τις διδάξῃ σε, ἢ τὰ ἐπὶ τῆς γῆς γινόμενα, ἀναμνήσῃ. σὺ οἶδας, τί ἂν συμφέρῃ τῇ προκοπῇ μου, καὶ ὅσον ὠφελεῖ ἡ θλῖψις, πρὸς τὸ τὸν ἰὸν τῶν κακιῶν καθαρίσαι. ποίησον μετά μου τὴν εὐδοκίαν σου τὴν ἐπιπόθητον, καὶ μὴ καταφρόνησον τοῦ βίου μου ἁμαρτητικοῦ, τοῦ μηδενὶ μᾶλλον ἢ σαφέστερον ἢ σοὶ μόνῳ ἐγνωσμένου.

---

ζ. Παράσχου μοι, κύριε, γνῶναι τὸ γνωστέον. φιλεῖν τὸ φιλητέον· ἐπαινεῖν τὸ μάλιστά σοι ἀρέσκον· τιμᾶν τὸ τίμιόν σοι δοκοῦν. ψέγειν τὸ ἐνώπιόν σου ῥυπαινόμενον. μὴ ἔασόν με κατὰ τὴν ὅρασιν τῶν ὀφθαλμῶν τῶν ἔξω κρίνειν, μηδὲ κατὰ τὴν ἀκοὴν τῶν ὤτων τῶν ἀπείρων ἀνθρώπων τὴν γνώμην ἀποφαίνεσθαι. ἀλλὰ τῇ ἀληθινῇ κρίσει περὶ τῶν ὁρατῶν καὶ πνευματικῶν ψηφίζεσθαι, καὶ ὑπὲρ πάντα τὴν εὐδοκίαν σου ἐπιζητεῖν.

---

η. Ἐξαπατῶνται πολλάκις αἱ τῶν ἀνθρώπων αἰσθήσεις ἐν τῷ κρίνειν· ἐξαπατῶνται καὶ οἱ φιλόκοσμοι τὰ ὁρατὰ μόνον ἀγαπῶντες. τί ὁ ἄνθρωπος βελτίων ἐστὶν ὁ ὑπὸ τοῦ ἀνθρώπου μείζων νομιζόμενος; ὁ ἀπατη-

λὸς τὸν ἀπατηλὸν, ὁ μάταιος τὸν μάταιον, ὁ τυφλὸς τὸν τυφλὸν, ὁ ἀσθενὴς τὸν ἀσθενῆ ἀπατᾷ, αὐτὸν ὑψῶν, καὶ ἀληθῶς μᾶλλον καταισχύνει αὐτὸν κενῶς ἐπαινῶν. Ὅσον γὰρ εἷς ἕκαστος ἐν ὀφθαλμοῖς σου ἐστὶ, τοσοῦτο καὶ οὐ πλέον ἐστὶ, φησὶν ὁ ταπεινὸς ἅγιος Φραγκίσκος.

---

## Κεφ: να

### Ὅτι δεῖ τοὺς ἀπολειπομένους τῶν ὑψίστων, τοῖς ταπεινοῖς ἔργοις προσκεῖσθαι.

α. Τέκνον, οὐκ ἰσχύεις ἀεὶ τῶν ἀρετῶν ζέσει ποθήσει ἐμμένειν, οὐδὲ τῷ ὑψηλοτέρῳ βαθμῷ τῆς θεωρίας ἐφίστασθαι, ἀλλὰ διὰ τὴν φθορὰν τὴν ἐγγενῆ, ἐπάναγκές ποτε εἰς τὰ κάτω σε καταβαίνειν, καὶ τὸ φορτίον τῆς φθαρτῆς ζωῆς ἄκοντι καὶ ἀηδῶς βαστάζειν. Ἐφ' ὅσον τὸ θνητὸν σῶμα κομίζεις, τὴν ἀηδίαν καὶ τὴν τῆς καρδίας βαρύτητα αἰσθήσῃ. Δεῖ τοίνυν πολλάκις τὸν ἐν τῇ σαρκὶ ὄντα, τὸ βάρος τῆς σαρκὸς στενάζειν, ἀνθ' ὧν οὐχ οἷός ~~τε~~ τ' εἶ τῇ πνευματικῇ ἀσκήσει καὶ τῇ θείᾳ θεωρίᾳ ἀδιαλείπτως προσκαρτερεῖν.

---

β. Τότε λυσιτελεῖ σοι εἰς τὰ ταπεινὰ καὶ τὰ ἔξω ἔργα καταφυγεῖν, καὶ ταῖς ἀγαθαῖς πράξεσιν σεαυτὸν ἀναλαμβάνειν· τὴν ἄφιξίν μου, καὶ τὴν ἄνω ἐπίσκεψιν τῇ βεβαίᾳ πεποιθήσει προσδοκᾶν.

βιβ: γ΄. κεφ: να΄. στιχ: β΄. αχπγ΄. ις΄ Σελ:
τὴν φυγαδείαν σου καὶ τὴν ξηροκαρδίαν εὐγνωμόνως ὑπομένειν, ἕως ἂν πάλιν ὑπ' ἐμοῦ ἐπισκοπηθῇς, καὶ πασῶν ἀδημονιῶν ἀπαλλαγῇς. ποιήσω γάρ σε τῶν πόνων ἀμνημονεῖν, καὶ τῆς ἔσω ἡσυχίας ἀπολαύειν. ἀναπετάσω ἐνώπιόν σου τὰ πεδία τῶν γραφῶν, ἵνα ~~πλα~~ πλατυνθεὶς τὴν καρδίαν ἄρξῃ ὁδὸν τῶν ἐντολῶν μου δραμεῖν, καὶ λέξεις ης· τὰ παθήματα τοῦ νῦν καιροῦ οὐκ ἄξιά ἐστι πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

---

## Κεφ: νβ΄.

### Ἵν' ὁ ἄνθρωπος μὴ νομίζῃ ἑαυτὸν τῆς παραμυθίας ἄξιον, μᾶλλον δὲ ταῖς πληγαῖς ἔνοχον.

α΄. Κύριε οὐκ εἰμὶ ἄξιος τῆς παραμυθίας σου, οὐδέ τινος πνευματικῆς ἐπισκέψεως· διὰ τοῦτο δικαίως μοι προσφέρῃ, πένητα καὶ ἔρημόν με καταλιπών. εἰ γὰρ τῆς θαλάσσης δίκην, τὰ δάκρυα ἐκχέειν ἠδυνάμην, οὔπω ἂν τῆς παρακλήσεώς σου ἄξιος ἐγενόμην. διὸ μηδενὸς ἄξιός εἰμι, ἢ τοῦ μαστιγοῦσθαι καὶ κολάζεσθαι, ὅτι δεινῶς καὶ πολλάκις σοι προσέκρουσα, καὶ πάμπολλα ἔπταισα. ἀληθῶς οὖν τοῦ λόγου συναρθέντος, καὶ τῆς ἐλαχίστης παραμυθίας ἀνάξιος τυγχάνω. σὺ δὲ προσηνὴς καὶ ἐλεήμων θεός, ὁ μὴ

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg
MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

βιβ: γ. κεφ: υβ. στιγμὴ α. αχπγ. ιε Σκυρ: α. βουλόμενος τὰ ἔργα σου ἀπολέσθαι, τοῦ ἀποδεῖξαι τὸν πλοῦτον τῆς χρηστότητός σου, εἰς τὰ σκεύη τοῦ ἐλέους, καὶ παρὰ πᾶσαν ἰδίαν ἀξίαν, ἀξιοῖς τὸν δοῦλόν σου ὑπὲρ πάντα τρόπον ἀνθρώπειον παρακαλεῖν. αἱ γὰρ παρακλήσεις, οὐκ εἰσὶν ὡς αἱ τῶν ἀνθρώπων ὁμιλίαι.

ιζ. β.

β. Τί ἐποίησα κύριε, ἵνα μοι δῷς τινα παραμυθίαν οὐράνιον; ἐγὼ οὐ μέμνημαι ποτὲ ἀγαθόν τι ποιήσας, ἀλλ' ἀεὶ πρὸς τὰ κακὰ εὐέμπτωτος, καὶ εἰς τὴν κατόρθωσιν ὀκνηρὸς γενόμενος. ἀληθές ἐστι τοῦτο, καὶ ἐξαρνεῖσθαι οὐ δύναμαι. εἰ ἄλλως ἔλεγον, σὺ ἄν μοι ἀντέστασο, καὶ οὐκ ἦν ὁ ἀπολογούμενος. τίνος ἠξιώθην ἀντὶ τῶν ἁμαρτιῶν μου, εἰ μὴ τοῦ ᾅδου καὶ τοῦ πυρὸς ἀϊδίου; ἀληθῶς ὁμολογοῦμαι ἄξιος εἶναι παντὸς ἐμπαιγμοῦ καὶ καταφρονήσεως, καὶ οὐ πρέπει τοῖς εὐλαβέσι σου ἐμὲ συγκαταψηφίζεσθαι. κἂν δὲ τοῦτο ἀκούων δυσχεραίνω, ὅμως κατ' ἐμοῦ ὑπὲρ τῆς ἀληθείας τὰ ἁμαρτήματά μου ἐλέγξω, ἵνα ῥᾷον ὑπό σου ἐλεηθῆναι ἀξιωθῶ.

γ. Τί ἂν λέξω ὑπεύθυνος ὤν, καὶ πάσης αἰσχύνης πλήρης; ἄστομος τυγχάνω τοῦ λαλεῖν,

εἰ μὴ μόνον τοῦτον λόγον· ἥμαρτον
κύριε, ἥμαρτον· ἐλέησόν με, σύγγνωθί
μοι. ἔασόν με μικρόν, τὴν ὀδύνην μου
πενθῆσαι πρὸ τοῦ με πορευθῆναι εἰς γῆν,
σκοτεινὴν, καὶ κεκαλυμμένην τῷ τοῦ θανά-
του γνόφῳ. τί μᾶλλον παρὰ τοῦ ἐνόχου καὶ ἀθλί-
ου ἁμαρτωλοῦ αἰτεῖς, ἢ τὸ συντρίψασθαι αὐτὸν,
καὶ ὑπὲρ τῶν πλημμελημάτων ἑαυτὸν
ταπεινοῦν; τῇ ἀληθινῇ συντρίψει καὶ ταπει-
νώσει τῆς καρδίας ἡ τῆς συγγνώμης ἐλπὶς ἐγ-
γίνεται, ἡ διαταραχθεῖσα συνείδησις καταλ-
λάττεται, ἡ χάρις ἀπολωλυῖα ἀναλαμβάνε-
ται, ὁ ἄνθρωπος ἀπὸ τῆς μελλούσης ὀργῆς
διαφυλάττεται, καὶ ὅ,τε θεὸς καὶ ἡ ψυχὴ με-
τανοοῦσα ἐν τῷ φιλήματι ἁγίῳ ἀλλήλοις
συναντῶσιν.

---

δ'. Ἡ ταπεινὴ τῶν ἁμαρτιῶν σύντριψις εὐ-
πρόσδεκτός σοι, κύριε, θυσία ἐστὶν, ἡ ἐνώ-
πιον τοῦ θεοῦ πολλῷ ἡδύτερον εὐωδιάζου-
σα τοῦ λιβάνου. αὕτη, καὶ ἐπίχαρι μύρον ἐστὶν
ὅ,τι τοῖς ἁγίοις ποσί σου ἐγχυθῆναι ἠθέλη-
σας, ὅτι καρδίαν συντετριμμένην καὶ τεταπει-
νωμένην οὐδέποτε ἐξουδένωσας. ἐκεῖ
ἐστι τόπος καταφυγῆς ἀπὸ προσώπου τοῦ ἐχ-
θροῦ. ἐκεῖ ἐπανορθοῦται καὶ ἀπολύεται πᾶν
ὅ,τι ἀλλαχόθεν ἐσπιλώθη καὶ κατερρυπάνθη.

---

Κεφ: νγ'.

Ὅτι ἡ χάρις τοῦ θεοῦ τοῖς τὰ ἐπίγεια φρονοῦσιν
οὐκ ἐπιμίγνυται.

BLB BADISCHE LANDESBIBLIOTHEK gefördert durch Baden-Württemberg MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

βιβ: γ. κεφ: νγ. στιγμὴ α. ἀρχ. ιζ. Σχιοςί,

α. Τέκνον, ἡ χάρις μου τιμία οὖσα οὐκ ἐᾷ τοῖς ἔξω ἢ ταῖς ἐπιγείοις παραμυθίαις ἑαυτὴν ἐπιμίγνυσθαι. διὰ οὖν πάντα ἐμποδίσματα τῆς χάριτος ἀποβαλεῖν, ἐὰν τὴν αὐτῆς ἔγχυσιν λαβεῖν ἐπιποθήσῃς. αἴτει σοι τὸ ἀποκρύπτεσθαι, φίλει τὸ ἰδιάζειν, μηδενὶ συνομιλεῖν ἐπιπόθει· ἀλλὰ μᾶλλον ταῖς ἱκετείαις τῷ θεῷ εὐλαβείως ποίει, τοῦ ἔχειν νοῦν συνυχθέντα καὶ καθαρὰν συνείδησιν. ὅλον τὸν κόσμον περὶ μηδενὸς ~~[illegible]~~ ποιοῦ· τὸ τοῖς τοῦ θεοῦ χολάζειν πάντων τῶν ἔξω προτίμα. οὐ γὰρ δυνήσῃ ἐμοὶ χολάζειν, καὶ τοῖς προσκαίροις ἅμα ἐφήδεσθαι. ἐπάναγκες ἀπὸ τῶν γνωστῶν καὶ ἀγαπητῶν μακρύνεσθαι, καὶ τὴν ψυχὴν πάσης χρονικῆς παραμυθίας ἀποστερηθεῖσαν ἔχειν. τοῦτον τρόπον ὁ μακάριος ἀπόστολος Πέτρος παρακαλεῖ, ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τοὺς πιστοὺς τοῦ Χριστοῦ ἐν τούτῳ κόσμῳ.

---

β. Ὦ πόσα πεποίθησις ἔσαι τῷ θανουμένῳ, ὃν μηδενὸς ἐπιθυμία ἐν τούτῳ τῷ κόσμῳ κατέχει· καίτοι τὸ τὴν καρδίαν οὕτω πάντων χωρισθεῖσαν ἔχειν, ὁ νοῦς λυπηρὸς οὐ χωρεῖ, οὐδὲ ψυχικὸς ἄνθρωπος τὴν τοῦ ἔσω

ἀνθρώπου ἐλευθερίαν γινώσκει. ἀλλὰ μὴν τὸν ἀληθῶς πνευματικὸν εἶναι βουλόμενον, δεῖ τοὺς μακρὰν ϗ τοὺς ἐγγὺς ἀποτάττεσθαι, ϗ ἀπὸ μηδενὸς μᾶλλον, ἢ ἀφ᾽ ἑαυτοῦ ἑαυτὸν φυλάττειν. ἐὰν σεαυτοῦ τελείως κρατήσῃς, τἄλλα ῥᾷον ὑποτάξεις. τελεία νίκη ἐστὶν, τὸ ἑαυτὸν θριαμβεύειν. ὁ γὰρ ἑαυτὸν ὑποτάξας, ἵνα τὸ αἰσθητικὸν τῷ λόγῳ, ϗ ὁ λόγος ἐν πᾶσιν ἐμοὶ ὑπακούσῃ, ἀληθῶς ἑαυτοῦ νικητὴς ϗ κύριος τοῦ κόσμου γίνεται.

---

γ. Ἐὰν ἐπὶ τοῦτο τὸ ἄκρον ἐφίκεσθαι ἐπιποθήσῃς ἀνάγκη ἀνδρείως ἄρξασθαι, ϗ τὴν ἀξίνην πρὸς τὴν ῥίζαν θεῖναι, ὅπως ἐκριζώσῃς ϗ κατασκάψῃς τὴν κεκρυμμένην ϗ ἄτακτον ἐπίκλισιν τὴν πρὸς σεαυτόν, πρός τε πᾶν ἴδιον ϗ ὑλικὸν ἀγαθόν. ἐκ ταύτης γὰρ κακίας ὅτι ὁ ἄνθρωπος ἄγαν ἀτάκτως φίλαυτος ὑπάρχει, σχεδὸν πᾶν ὅ,τι ῥιζόθεν νικητέον, κρέμαται. ὅτινος κακοῦ νικηθέντος ϗ ὑποταχθέντος μεγάλη εἰρήνη ϗ γαλήνη παραυτίκα γενήσεται. ὅτι δὲ ὀλίγοι ἑαυτοὺς τελείως ἀποθανεῖν ἐπιχειροῦσιν, ϗ παντελῶς ἑαυτῶν οὐκ ἀπορεύονται, διὰ ταῦτα ἐν ἑαυτοῖς ἐμπλεχθέντες διατελοῦσιν, ϗ τῷ πνεύματι ὑπὲρ ἑαυτοὺς ἐπαρθῆναι οὐχ οἷοί τ᾽ εἰσί. τὸν δὲ μετά μου ἐλευθέρως περιπατεῖν ἐθέλοντα δεῖ

BLB BADISCHE LANDESBIBLIOTHEK gefördert durch Baden-Württemberg MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

Βιβ: γ. κεφ: νγ. στιγμὴ γ. αχπγ. Σχι' ἐκ. β.
πάντα κακὰ καὶ ἄτακτα πάθη νεκρώσαι, καὶ μηδεμιᾷ κτίσει, ἰδίᾳ ἀγάπῃ ἐπιθυμητικῶς προσκολλᾶσθαι. ιη. γ.

## Κεφ: νδ.

## Περὶ τῶν διαφόρων κινήσεων τῆς φύσεως καὶ τῆς χάριτος.

α. Τέκνον, τὰς τῆς φύσεως καὶ τῆς χάριτος κινήσεις ἀκριβῶς σκόπει, ὅτι λίαν ἐναντίως καὶ λεπτῶς κινοῦνται· καὶ μόλις, εἰ μὴ ὑπὸ πνευματικοῦ καὶ ἐνδότατα πεφωτισμένου ἀνθρώπου διαγινώσκονται. πάντες μὲν τοῦ ἀγαθοῦ ὀρέγονται, καὶ ἐν τοῖς λόγοις καὶ ταῖς πράξεσιν αὐτῶν ἀγαθόν τι προφασίζονται, διὸ ὑπ' εἴδει τοῦ ἀγαθοῦ πολλοὶ ἀπατῶνται. ἡ φύσις δολερὰ οὖσα πολλοὺς ἑλκύει, καὶ παγιδεύει, σφάλλει τε, καὶ ἑαυτὴν ἀντὶ τοῦ πέρατος ἔχει. ἡ δὲ χάρις ἁπλῶς περιπατεῖ, καὶ ἀπὸ παντὸς εἴδους κακοῦ ἐκκλίνει· τοὺς δόλους οὐ προτείνει, καὶ πάντα εἰλικρινῶς διὰ τὸν θεὸν πράττει, ἐν ᾧ καὶ τελευταῖον ἀναπαύεται.

β. Η φύσις ἄκοντι ἀποθνήσκειν, οὐ πιέζεσθαι, οὐδὲ νικᾶσθαι, οὐδὲ ὑποτάττεσθαι, οὐδ' αὐτομάτως ὑπό τινι εἶναι βούλεται. ἡ δὲ χάρις περὶ τῆς ἰδίας νεκρώσεως σπουδάζει, τῷ ἰδίῳ αἰσθητικῷ ἀντιστατεῖ, ἐπιποθεῖ ὑποτάττεσθαι, ἐφίεται νικᾶσθαι, οὐκ ἐθέλει ἐλευ-
θέρως [illegible]

θεριάζειν, ὑπὸ παιδείας κατεχομένη χαίρει, καὶ μηδενὸς μὲν κυριεύειν, ὑπὸ δὲ τοῦ θεοῦ πάντοτε ζῆν, διαμένειν καὶ γίνεσθαι γλίχεται, πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν θεὸν ταπεινῶς ὑποταγῆναι ἑτοίμη ὑπάρχουσα. ἡ φύσις ὑπὲρ τῆς ὠφελείας αὐτῆς ἐπιπονεῖ, καὶ τί ποτε ἐξ ἄλλου κερδήσῃ λογίζεται· ἡ δὲ χάρις οὐ τὸ ὠφέλιμον καὶ λυσιτελὲς αὐτῇ, ἀλλὰ τὸ πολλοῖς συμφέρον μᾶλλον ἐνθυμεῖται. ἡ φύσις ἀσμένως τὴν τιμὴν καὶ τὴν αἰδῶ λαμβάνει· ἡ δὲ χάρις πᾶσαν τιμὴν καὶ δόξαν τῷ θεῷ πιστῶς ἀνατίθεται.

---

γ. Η φύσις τὴν αἰσχύνην καὶ τὴν καταφρόνησιν φοβεῖται· ἡ δὲ χάρις ὑπὲρ τοῦ ὀνόματος τοῦ Ἰησοῦ ἀτιμασθεῖσα χαίρει. ἡ φύσις τὴν ἀπονίαν, καὶ τὴν σωματικὴν ἀνάπαυσιν ἀγαπᾷ· ἡ δὲ χάρις ἀργεῖν οὐ δύναται, ἀλλ' ἀσμένως τὸν πόνον ἀποδέχεται. ἡ φύσις τὰ περίεργα καὶ καλὰ ἔχειν ἐπιποθεῖ, καὶ τὰ εὐτελῆ καὶ παχυλὰ βδελύττεται· ἡ δὲ χάρις τοῖς ἁπλοῖς καὶ ταπεινοῖς ἥδεται, τὰ τραχέα οὐ μυσάττεται, καὶ τὸ τὰ παλαιὰ ῥάκη ἐνδύεσθαι οὐ βαρέως φέρει. ἡ φύσις εἰς τὰ πρόσκαιρα ἀποβλέπει, τοῖς ἐπιγείοις κέρδεσιν χαίρει, ἐπὶ τῇ βλάβῃ λυπεῖται κούφῳ λόγῳ τῆς ὕβρεως παροξύνεται· ἡ δὲ χάρις τὰ αἰώνια σκοπεῖ, τοῖς χρονικοῖς

βιβ: γ. κεφ: νδ. στιχ: γ. α Χρν. ιη Σιρ: γ.

οὐ προσκολλᾶται, οὐδὲ τῇ τῶν ὑπαρχόντων ἀπωλείᾳ ταράττεται, οὐδὲ τῇ σκληρολογίᾳ πικραίνεται, ὅτι τὸν θησαυρὸν καὶ τὴν χαρὰν αὐτῆς ἐν τῷ οὐρανῷ, ὅπου μηδὲν ἀπόλλυται, καθίστησιν.

---

ιδ. δ.

δ. **Η** φύσις ἐπιθυμητικῶς ἔχει, καὶ ἀσμενέστερον λαμβάνει ἢ δωρεῖται, καὶ τὰ ἴδια καὶ οἰκεῖα φιλεῖ· ἡ δὲ χάρις εὔσπλαγχνος καὶ κοινή ἐστι, τὰ ἴδια φεύγει, ὀλίγοις στέργει, μακάριον εἶναι διδόναι μᾶλλον ἢ λαμβάνειν νομίζει. ἡ φύσις ἀποκλίνει πρὸς τὰς κτίσεις, πρός τε τὴν ἰδίαν σάρκα, καὶ πρὸς τὰς ματαιότητας καὶ διαδρομάς. ἡ δὲ χάρις πρὸς τὸν θεὸν καὶ τὰς ἀρετὰς ἕλκει, τοῖς κτίσμασιν ἀποτάττεται, τὸν κόσμον φεύγει, τὰς τῆς σαρκὸς ἐπιθυμίας μισεῖ, τὰς ἀλητείας συστέλλει, δημοσίᾳ φαινομένη αἰσχύνεται. ἡ φύσις τὰς παραμυθίας τὰς ἔξω ἐπιθυμεῖ ἢ ἂν κατὰ τὰς αἰσθήσεις τέρπηται· ἡ δὲ χάρις ἐν μόνῳ τῷ θεῷ παρακαλεῖσθαι, καὶ τῷ τελευταίῳ ἀγαθῷ ὑπὲρ πάντα ὁρατὰ ἐφήδεσθαι ἐπιποθεῖ.

---

ε. **Η** φύσις διὰ τὸ κέρδος, καὶ ἰδίαν ὠφέλειαν πάντα ποιεῖ, μηδὲν δωρεὰν ποιῆσαι δυναμένη, ἀλλ' ἢ τοῦ ἴσου, ἢ βελτίονος,

ἢ ἐπαίνου, ἢ εὐνοίας ἀντὶ τῶν εὐεργετημάτων ἐπιτεύξεσθαι ἐλπίζουσα, τὰς πράξεις τε αὐτῆς καὶ τὰ δῶρα πολὺ σταθμᾶσθαι ἐφίεται. ἡ δὲ χάρις μηδὲν πρόσκαιρον ζητεῖ, καὶ οὐκ ἄλλο ἆθλον ἢ μόνον τὸν θεὸν ἀντὶ τοῦ μισθοῦ αἰτεῖ, οὐδέ τι τῶν τοῦ βίου ἀναγκαίων ἐπιποθεῖ, εἰ μὴ ὅσον ἂν εἰς τὸ ἐφικέσθαι τῶν αἰωνίων ὠφελήσῃ.

5. Η φύσις ἐπὶ πολλοῖς φίλοις καὶ προσήκουσι χαίρει, τὸν λαμπρὸν τόπον καὶ τὴν εὐγένειαν αὐχεῖ· τοῖς δυνατοῖς προσμειδιᾷ, τοῖς πλουσίοις κολακεύει, τοῖς αὐτῇ ὁμοίοις ἐπικροτεῖ, ἡ δὲ χάρις καὶ τοὺς ἐχθροὺς ἀγαπᾷ, καὶ τῷ τῶν φίλων πλήθει οὐκ ἐπαίρεται, οὐδὲ τὸν τόπον, οὐδὲ τὸ γένος περὶ πολλοῦ ποιεῖται, εἰ μὴ ἡ ἀρετὴ ἐκεῖ ὑπερέχει· τῷ πτωχῷ μᾶλλον ἢ τῷ πλουσίῳ πρόσκειται· τῷ ἀκάκῳ πλέον ἢ τῷ δυνατῷ συμπάσχει· τῷ ἀληθευτικῷ ἀλλ' οὐ τῷ ἀπατηλῷ συγχαίρει· τοὺς ἀγαθοὺς ἀεὶ προτρέπει ζηλοῦν τὰ χαρίσματα τὰ κρείττονα, καὶ τῷ τοῦ θεοῦ υἱῷ δι' ἀρετῶν ὁμοιοῦσθαι· ἡ φύσις ἐπὶ τῇ ἐνδείᾳ καὶ λύπῃ ταχέως ἀγανακτεῖ· ἡ δὲ χάρις τὴν ἀπορίαν εὐσταθῶς καρτερεῖ.

6. Η φύσις πάντα εἰς ἑαυτὴν ἀνακάμπτει. ὑπέρ τε ἑαυτῆς ἀγωνίζεται καὶ ἐλέγχει.

βιβ: γ. κεφ: νδ. στιγμὴ ζ. αχπγ. ιθ. Σεπτεμ: δ.

ἡ δὲ χάρις πάντα εἰς τὸν θεὸν ἀναφέρει, ὅθεν ὡς ἀπ' ἀρχῆς προέρχεται. μηδὲν ἀγαθὸν αὐτῇ ἀνατίθησιν, μηδ' ἀλαζονικῶς προλαμβάνει, μηδ' ἐρίζει, μηδὲ τὴν γνώμην αὐτῆς τῆς τῶν ἄλλων προκρίνει, ἀλλ' ἐν πάσῃ διανοίᾳ καὶ συνέσει, τῇ αἰωνίῳ σοφίᾳ καὶ τῇ τοῦ θεοῦ ἐξετάσει ἑαυτὴν ὑποτάττει. ἡ φύσις ἐπιποθεῖ τὰ ἀπόρρητα εἰδέναι καὶ τῶν καινῶν ἀκοῦσαι, ἐθέλει ἔξω φαίνεσθαι, καὶ πολλὰ δι' αἰσθήσεις πειράσαι. ἐφίεται γνωσθῆναι καὶ πρᾶξαι, ἐξ ὧν ἔπαινος καὶ θαυμασμὸς γίνεται. τῇ δὲ χάριτι οὐ μέλει τὰ καινὰ ἢ τὰ πάρεργα ~~αναδεξ~~ ἀναδέξασθαι. ὅτι τοῦτο ὅλον ἐκ τῆς φθορᾶς τῆς παλαιότητος ἐστι, μηδενὸς καινοῦ καὶ διαρκοῦς ἐπὶ τῆς γῆς γινομένου. διδάσκει τοίνυν τὰς αἰσθήσεις κατέχειν, τὴν ματαίαν αὐθάδειαν καὶ ἐπίδειξιν φεύγειν, τὰ ἀξιέπαινα καὶ θαυμάσια ταπεινῶς ἀποκρύπτειν, καὶ ἐκ παντὸς πράγματος, καὶ ἐν πάσῃ ἐπιστήμῃ τὸν τῆς ὠφελείας καρπὸν, καὶ τὸν τοῦ θεοῦ ἔπαινον καὶ τιμὴν ζητεῖν. οὐ θέλει ἑαυτὴν ἢ τὰ ἑαυτῆς ἐγκωμιάζεσθαι, ἀλλ' εὔχεται τὸν θεὸν, καὶ πάντα ἐκ τῆς εἰλικρινοῦς ἀγάπης χαριζόμενον ἐν τοῖς δώροις αὐτοῦ εὐλογεῖσθαι.

η. Αὕτη ἡ χάρις ὑπερφυὲς φῶς καὶ ἐξαίρετον δῶρόν τι τοῦ θεοῦ ἐστιν, ἰδίως τε σφραγὶς τῶν ἐκλεκτῶν, καὶ ἐνέχυρον τῆς αἰωνίου σωτηρίας, ἢ τὸν ἄνθρωπον ἐκ τῶν ἐπιγείων εἰς τὸ τὰ ἐπουράνια ἀγαπᾷν ἐπαίρουσα, καὶ ἐκ σαρκικοῦ πνευματικὸν ἀπεργαζομένη. διόπερ ὅσῳ μᾶλλον ἡ φύσις πιέζεται, καὶ νικᾶται, τοσούτῳ μείζων χάρις ἐγχεῖται, καὶ ὁ ἔσω ἄνθρωπος καθ' ἑκάστην ταῖς καιναῖς ἐπισκέψεσι, κατ' εἰκόνα τοῦ θεοῦ μεταμορφοῦται.

---

Περὶ τῆς φθορᾶς τῆς φύ Κεφ: νε. σεως, καὶ τῆς ἐνεργείας
α. τῆς θείας χάριτος.

Κύριε, ὁ θεός μου, ὁ κατ' εἰκόνα καὶ ὁμοιότητά σου ἐμὲ ποιήσας, δώρησαί μοι τὴν χάριν ταύτην, ἣν οὕτω μεγάλην καὶ τῇ σωτηρίᾳ ἀναγκαίαν ἐπέδειξας, ὅπως τῆς κακίστης φύσεώς μου, τῆς εἰς τὰ ἁμαρτήματα καὶ ἀπώλειαν ἑλκυούσης περιγένωμαι. αἰσθάνομαι γὰρ ἐν τῇ σαρκί μου τὸν νόμον τῆς ἁμαρτίας τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με εἰς τὸ πειθαρχεῖν τῷ αἰσθητικῷ ἐν πολλοῖς. καὶ οὐχ οἷός τ' εἰμι τοῖς πάθεσιν αὐτοῦ ἀντιστατεῖν, ἐὰν μὴ ἡ ἁγιωτάτη σου χάρις, τῇ καρδίᾳ μου θερμῶς ἐγχυθεῖσα παραστῇ.

---

β. Ἀναγκαία ἐστὶν ἡ χάρις σου, καὶ δὴ μεγά-

Βιβ: γ. κεφ: νε. στιγμὴ β. [illegible]

δὴ χάριτος τοῦ νικηθῆναι τὴν φύσιν τὴν ἀεὶ ἐγ-
κεκλιμένην ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτῆς.
αὐτῆς γὰρ διὰ τοῦ πρωτοπλάστου Ἀδὰμ πε-
σούσης, καὶ διὰ τὸ ἁμάρτημα διαφθαρ-
είσης, εἰς πάντας ἀνθρώπους ἡ ποινὴ τοῦ σπί-
λου τούτου κατέβη· ὥστε τὴν φύσιν τὴν κα-
λὴν καὶ εὐθεῖαν ὑπὸ σοῦ κτισθεῖσαν νῦν ἀντὶ
κακίας καὶ ἀσθενείας τῆς φύσεως τῆς δια-
φθαρμένης ληφθῆναι, ὅτι τὸ κίνημα
αὐτῆς αὐτῷ καταλειφθὲν, εἰς τὸ κακὸν
καὶ τὰ κάτω ἕλκυσι. ἡ γὰρ μικρὰ δύναμ-
μις ἡ ὑπολειφθεῖσα, ὡς σπινθήρ τις ἐν
τῷ σποδῷ ἀποκεκρυμμένη ἐστίν. οὗτος ὁ
φυσικὸς λόγος ὑπάρχει, πολὺ σκοτισθείς,
καὶ τὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ κρίσιν, τήν
τε τοῦ ἀληθοῦς καὶ τοῦ ψευδοῦς διαφορὰν
ἔχων, εἰ καὶ ἀδυνατεῖ πληρῶσαι πᾶν ὅ,τι
δοκιμάζει, καὶ νῦν οὐ τοῦ πλήρους φωτὸς τῆς
ἀληθείας, οὐδὲ τῆς ὑγιείας τῶν παθῶν
αὐτοῦ ἀπολαύει.

---

γ. Διὰ ταῦτα ὁ θεός μου, συνήδομαι τῷ
νόμῳ σου κατὰ τὸν ἔσω ἄνθρωπον, γινώ-
σκων ὅτι ἡ ἐντολή σου ἀγαθή, δικαία καὶ
ἁγία ἐστί, ἐλέγχουσα, ὅτι διὰ πᾶν κακὸν

καὶ ἁμάρτημα φεύγειν. τῇ δὲ σαρκὶ δου-
λεύω τῷ νόμῳ τῆς ἁμαρτίας, τῇ διανοητι-
κῇ δυνάμει μᾶλλον, ἢ τῷ λόγῳ ὑπακούων.
ὅθεν τὸ μὲν θέλειν ἀγαθὸν παράκειταί
μοι, τὸ δὲ κατεργάζεσθαι οὐχ εὑρίσκω.
ὅθεν πολλάκις πολλὰ ἀγαθὰ προαιροῦμαι,
ἀλλὰ τῆς χάριτος εἰς τὸ συναντιλαμβά-
νειν ταῖς ἀσθενείαις μου, ἀπολειπούσης,
διὰ τὴν ῥᾳδίαν ἀντίστασιν ἀποστεροῦμαι
καὶ ἐλλείπω. ὅθεν ~~μοι~~ συμβαίνει τὴν
μὲν τῆς τελειότητος ὁδὸν ἐμὲ γινώ-
σκειν, καὶ πῶς ἂν δέῃ με πράττειν, πάνυ
σαφῶς βλέπειν, τῷ δὲ τῆς ἰδίας φθορᾶς
βάρει πιεσθέντα εἰς τὰ τελειότερα οὐκ
ἀνίστασθαι.

---

ρϛ. Ὡς πολλὴν χρείαν ἔχω, κύριε τῆς
χάριτός σου, εἰς τὸ ἐξάρχειν, προάγειν
τε, καὶ διατελεῖν τὸ ἀγαθόν. χωρὶς μὲν
αὐτῆς δύναμαι ποιεῖν οὐδέν. πάντα δ'
ἰσχύω ἐν σοί, τῆς χάριτός σου ἐμὲ ἐνδυνα-
μούσης. ὦ ἀληθῶς ἐπουράνιος χάρις, ἄνευ
ἧς οὐδεμία ἀξία ἰδία τυγχάνει, οὐδὲ τὰ
τῆς φύσεως δῶρα τιμητέον. μηδὲν αἱ
ἐπιστῆμαι, μηδὲν ὁ πλοῦτος, μηδὲν ὁ
κάλλος, ἢ ἡ ῥώμη, ἢ ἀγχίνοια, ἢ ἡ λογιότης,
παρά σοι, κύριε, ἄνευ τῆς χάριτος ἰσχύουσι.

βιβ: λ. κεφ: νε. στιχ: ά. α. χνν. κ. Εκκλ: ε.

τὰ γὰρ τῆς φύσεως δῶρα τοῖς ἀγαθοῖς καὶ τοῖς κακοῖς κοινά ἐστι. τῶν δὲ ἐκλεκτῶν ἴδιον δῶρόν ἐστιν ἡ χάρις, ἡ ἀγάπη, ἧπερ σημειωθέντες τῆς αἰωνίου ζωῆς ἀξιοῦνται. τοσοῦτον αὕτη ἡ χάρις προέχει, ὥστ' οὐδὲ τὸ δῶρον τῆς προφητείας, οὐδὲ τὴν ἐνέργειαν τῶν σημείων, οὐδὲ θεωρίαν ὁποσοῦν ὑψηλὴν ἔσαν ἄνευ αὐτῆς τιμᾶσθαι. πρὸς τούτοις οὐδὲ πίστις, οὐδ' ἐλπὶς, οὐδ' ἄλλαι ἀρεταὶ χωρὶς ἀγάπης καὶ χάριτος εὐπρόσδεκτοί εἰσιν.

---

ε. Ὦ μακαριωτάτη χάρις, ἡ τὸν τῷ πνεύματι πτωχὸν ὄντα ταῖς ἀρεταῖς πλουτίζεις· καὶ τὸν πολλῇ οὐσίᾳ πλουτοῦντα τῇ καρδίᾳ ~~ταπ~~ ταπεινὸν κατεργάζῃ. ἐλθὲ, κατάβηθι πρὸς ἐμὲ, πλήρωσόν με πρωῒ τῇ παραμυθίᾳ σου, ἵνα μὴ ὑπὸ τοῦ καμάτου καὶ τῆς ξηρότητος τοῦ νοὸς ἡ ψυχή μου ἐκλείψῃ. δέομαί σου, κύριε, εὕρω χάριν ἐναντίον σου. ἡ γὰρ χάρις σου ἀρκεῖ μοι ἀποτυχόντι τῶν ἄλλων, ἅπερ ἡ φύσις ἐπιποθεῖ. ἐὰν πειρασθῶ καὶ κακωθῶ πολλαῖς θλίψεσιν, οὐ φοβηθήσομαι κακὰ, τῆς χάριτός σου παραγινομένης μοι. αὕτη ἡ ἰσχύς μου, αὕτη συμβουλὴν καὶ βοήθειαν παρέχει· πάντων ἐχθρῶν δυνατωτέρα ἐστι, καὶ πάντων σοφῶν σοφωτέρα.

5. Αὕτη καθηγήτρια τῆς ἀληθείας, διδά-
σκαλος τῆς παιδείας, παράκλησις τῆς θλίψε-
ως, + ια. 5.
φῶς τῆς καρδίας, φυγαδεύτρια τῆς λύπης,
ἀφαιρέτρια τοῦ φόβου, θρέπτρια τῆς εὐλα-
βείας, παραγωγεὺς τῶν δακρύων. τί ἄνευ
αὐτῆς εἰμι, πλὴν ξύλον ξηρὸν, καὶ στέλε-
χος ἀνωφελὲς, ἵν᾽ ἀποβληθῇ; διὸ κύριε,
ἡ χάρις σου ἀεί με προφθάνοι καὶ παρέ-
ποιτο, καὶ τοῖς ἀγαθοῖς ἔργοις συνεχῶς
προσκείμενον κατεργάζοιτο, διὰ τοῦ Ἰη-
σοῦ Χριστοῦ υἱοῦ σου. Ἀμήν.

---

Κεφ: νϛ.

Ὅτι ἡμᾶς αὐτοὺς ἀπαρνήσασθαι, καὶ τῷ Χρι-
στῷ διὰ τοῦ σταυροῦ ἀκολουθῆσαι ὀφείλ-
ομεν.

α. Τέκνον, ὅσον ἰσχύεις σου ἐξελθεῖν, το-
σοῦτο εἰς ἐμὲ μεταβῆναι δυνήσῃ. καθάπερ
τὸ μηδενὸς ἔξωθεν ἐπιθυμεῖν, τὴν εἰ-
ρήνην τὴν ἔσω καθίστησιν, οὕτω τὸ ἑαυτὸν
ἔσω καταλείπειν, τῷ θεῷ συνάπτει.
ἐθέλω σε μανθάνειν τὴν τελείαν ἀπάρ-
νησιν σου ἐν τῷ θελήματί μου ἄνευ ἀντι-
λέξεως καὶ μέμψεως. ἀκολούθει μοι.
ἐγώ εἰμι ὁ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.
χωρὶς ὁδοῦ οὐ πορευόμεθα· χωρὶς ἀλη-
θείας, οὐ γινώσκομεν· χωρὶς ζωῆς, οὐ ζῶ-
μεν. ἐγώ εἰμι ὁ ὁδὸς, ἣ ἕπεσθαι, ἡ ἀλη-

θεια, ἣν πιστεύειν, ἡ ζωὴ ἣν ἐλπίζειν ὀφείλ-
εις. ἐγώ εἰμι ἡ ἄφθαρτος ὁδὸς, ἡ ἀνεξα-
πάτητος ἀλήθεια, ἡ ἀπέραντος ζωή.
ἐγώ εἰμι ἡ εὐθυτάτη ὁδὸς, ἡ ἀκροτάτη
ἀλήθεια, ἡ ἀληθινὴ ζωὴ, ἡ μακαρία ζωὴ,
ἡ ἄκτιστος ζωή. ἐὰν μείνῃς ἐν τῇ ὁδῷ μου,
γνώσῃ τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευ-
θερώσει σε, καὶ ἐπιλήψῃ τῆς αἰωνίου ζωῆς.

---

β. Εἰ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρη-
σον τὰς ἐντολάς. εἰ θέλεις γνῶναι τὴν ἀ-
λήθειαν, πίστευσόν μοι. εἰ θέλεις τέλειος
εἶναι, πώλησον πάντα. εἰ θέλεις μαθη-
τὴς μου εἶναι, ἀπάρνησαι σεαυτόν. εἰ θέ-
λεις τὴν μακαρίαν ζωὴν κτήσασθαι, τὴν
παροῦσαν καταφρόνησον. εἰ θέλεις ὑψω-
θῆναι ἐν τῷ οὐρανῷ, ταπείνωσόν σε ἐν τῷ
κόσμῳ. εἰ θέλεις συμβασιλεύειν μοι, συμ-
βάστασόν μοι τὸν σταυρόν. μόνοι γὰρ οἱ
δοῦλοι τοῦ σταυροῦ εὑρίσκουσι τὴν ὁδὸν τῆς
μακαριότητος, καὶ τοῦ ἀληθινοῦ φωτός.

---

γ. Κύριε Ἰησοῦ ὅτι στενός ἐστιν ὁ βίος σου,
καὶ τῷ κόσμῳ καταφρόνητος, παράδος μοι
σὺν τῇ τοῦ κόσμου καταφρονήσει ἀκολουθῆ-
σαί σοι. οὐ γὰρ δοῦλος μείζων ἐστὶ τοῦ κυρίου
αὐτοῦ, οὐδὲ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον

ἀσκείσθω ὁ δοῦλός σου ἐν τῷ βίῳ σου, ὅτι
ἐκεῖ ἐστιν ἡ σωτηρία μου, καὶ ἡ ἀληθινὴ ἁγι-
ότης. πᾶν ὅ,τι ἂν ἔξω αὐτῆς ἀναγινώσκω
ἢ ἀκούω, οὐκ ἀναψύχει με, οὐδ᾽ ἐκπλέως
τέρπει.

δ. Τέκνον, ὅτι ταῦτα οἶδας, καὶ ἀνέγνως πάν-
τα, μακάριος ἔσῃ, ἐὰν ποιῇς αὐτά. ὁ ἔχων
τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖν-
ός ἐστιν ὁ ἀγαπῶν με. κἀγὼ ἀγαπήσω
αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν, καὶ συγ-
καθίσω ~~αὐτοῦ~~ μοι αὐτὸν ἐν τῇ βασιλείᾳ
τοῦ πατρός μου. κύριε Ἰησοῦ Χριστέ, καθὼς
ἔλεξας, καὶ ὑπέσχου, οὕτω δὴ γενηθήτω καὶ
συμβήτω μοι ἀξιοῦσθαι. ὑποδεξάμην,
ὑποδεξάμην παρὰ τῆς χειρός σου τὸν
σταυρόν, βαστάσω, καὶ βαστάσω αὐτόν, ἕως
τοῦ θανάτου, ὥσπερ σὺ ἐπέθης μοι. ἀλη-
θῶς ὁ βίος τοῦ ἀγαθοῦ μοναχοῦ σταυρός ἐστι,
καὶ ὁδηγὸς τοῦ παραδείσου. ἤρκται ὀπίσω βα-
δίζειν οὐκ ἔξεστιν, οὐδὲ δεῖ καταλείπειν.

ε. Δεῦτε ἀδελφοί, ἅμα βαδίζωμεν, ὁ Ἰη-
σοῦς παρέσται ἡμῖν. διὰ τὸν Ἰησοῦν ὑπε-
δεξάμεθα τὸν σταυρὸν τοῦτον. διὰ τὸν
Ἰησοῦν ὑπομένωμεν ἐν τῷ σταυρῷ. ἔσται
βοηθὸς ἡμῶν, ὁ ὁδηγὸς καὶ προηγητὴς ἡ-
μῶν γινόμενος. ἰδοὺ ὁ βασιλεὺς ἡμῶν
διαπορεύεται ἐναντίον ἡμῶν, ὁ ὑπερμα-
χῶν ἡμῶν. ἀκολουθῶμεν ἀνδρείως,

βίβ: γ. κεφ: νς. στιγμὴ ε. α χπγ. κα ἔκιε: 5.
οὐδεὶς φορείσθω ἀπὸ φόβων. ὡς μὲν ἑτοί-
μοι ἀποθανεῖν ἐν ἀνδρείᾳ ἐν πολέμῳ,
καὶ μὴ καταλείπωμεν αἰτίαν τῇ δόξῃ
ἡμῶν, φυγόντες ἀπὸ τοῦ σταυροῦ.

---

χρ. ζ. Κεφ: νζ.

Περὶ τοῦ μὴ ἄγαν ἄθυμον εἶναι τὸν ἄν-
θρωπον, ‡ ἐλαττώμασί τισι περι-
πίπτοντα.

α. Τέκνον, μᾶλλον ἀρέσκει μοι ἡ ὑπομο-
νὴ καὶ ἡ ταπεινότης ἐν τῇ ἀθυχίᾳ, ἢ ἡ πολλὴ
παράκλησις καὶ εὐλάβεια + διὰ τί μικρόν
τι κατὰ σοῦ λεχθὲν λυπεῖ σε; εἰ μεῖζον ἐ-
γένετο, οὐκ ἂν κινηθῆναί σε ἐδέησεν. ἀλ-
λὰ νῦν ἔασον. οὐκ ἔστι πρῶτον, οὐδὲ καινόν,
οὐδὲ ὕστατον ἔσται, εἰ πολὺν χρόνον ζητήσεις.
ἱκανῶς ἀνδρεῖος εἶ ὅσον μηδὲν ἀτύχη-
μα συναντᾷ. ἔτι δὲ καλῶς μὲν βουλεύ-
εις, καὶ τοὺς ἄλλους ἐνδυναμοῦν ἐπίστασαι
τοῖς λόγοις. τὸ δ' ἀπροσδοκήτου θλίψε-
ως ἐπὶ θύρᾳ σου ἐγγιζούσης, ἀπορεῖς καὶ
ἀδυνατεῖς. μεγάλην τὴν ἀσθένειάν σου
σκόπει, ἧς ἐν μικραῖς ἀποβάσεσι πλε-
ονάκις πεῖραν λαμβάνεις. ἀλλ' ὅμως
εἰς τὴν σωτηρίαν σου γίνεται, ὁπότε
ταῦτα καὶ ὅσα ἄλλα τούτοις ὅμοια συμ-
βαίνει. + ἐν εὐθυχίᾳ

---

BLB BADISCHE LANDESBIBLIOTHEK
gefördert durch Baden-Württemberg
MINISTERIUM FÜR WISSENSCHAFT, FORSCHUNG UND KUNST

β. Καθ' ὅσον δύνῃ, ἀπόβαλλε τοῦτο ἐκ τῆς
καρδίας, ϗ εἰ ἥψατό σου, ἀλλ' ὅμως σε μὴ
καταβαλλέτω, μηδὲ πολὺν χρόνον ἐμ-
πλεκέτω. ~~κἂν ἧττον~~ τοὐλάχιστον φέρε
εὐκόλως, εἰ οὐ δύνῃ ἱλαρῶς. κἂν ἧττον
ἀσμένως ἀκούῃς, ϗ ἀγανάκτησιν αἰσθάνῃ,
ἐπέχε σεαυτόν, ϗ μὴ ἄτακτόν τι ἐκ τοῦ
στόματός σου ἐξελθεῖν ἔασον, ἐξ οὗ μι-
κροὶ σκανδαλισθῶσι. ταχέως ἡ κίνησις
ἐγερθεῖσα ἠρεμήσει, ϗ ἡ ἔσω ὀδύνη τῇ
τῆς χάριτος ἀφίξει γλυκαίνεται. ἔτι ἐγὼ
ζῶ (ὁ κύριός φησιν) ἕτοιμος ὢν βοη-
θεῖν σοι, ϗ πλέον τοῦ εἰωθότος παραμυ-
θεῖσθαι, ἐὰν ἐμοὶ πεποίθῃς, ϗ εὐλαβῶς
ἐπικαλέσῃς.

---

γ'. Θάρσει, ϗ ἐπὶ πλείω ὑπομονὴν παρα-
σκευάσθητι. οὐ πάντα οἴχεται, εἰ πλεονά-
κις αἰσθάνῃ θλιβόμενος, ἢ δεινῶς πει-
ραζόμενος. ἄνθρωπος εἶ, ϗ οὐ θεός.
σὰρξ εἶ, οὐκ ἄγγελος. πῶς σὺ ἂν οἷός τε ἦς
ἐν τῇ αὐτῇ καταστάσει ἀεὶ διατελεῖν, τούτου
τῷ ἀγγέλῳ ἐν τῷ οὐρανῷ, ϗ τῷ πρώτῳ
ἀνθρώπῳ ἐν τῷ παραδείσῳ ἐπιλείψαν-
τος; ἐγώ εἰμι ὁ τοὺς λυπουμένους ἰώμενος,
ϗ τοὺς τὴν ἀσθένειαν αὐτῶν γινώσκον-
τας εἰς τὴν θεότητά μου περάγων.

---

δ'. Κύριε, εὐλογηθήτω ὁ λόγος σου, ὁ γλυκὺς
τῷ στόματί μου ὑπὲρ μέλι ϗ κηρίον.

τί ἂν ἐποίουν ἐν τοιαύταις θλίψεσι καὶ
στενοχωρίαις μου, εἰ μὴ τοῖς ἁγίοις λό-
γοις σου ἐθάρρυνάς με; μόνον εἰ τελευ-
ταῖον τοῦ τῆς σωτηρίας λιμένος ἐφίξομαι,
τί μέλει μοι, τίνα καὶ πόσα ἂν πάθω.
δὸς τέλος ἀγαθὸν, δὸς μακαρίαν ἐκ τούτου
τοῦ βίου διέξοδον. μνήσθητί μου ὁ θεός
μου, καὶ κατεύθυνέ με εὐθείᾳ πορείᾳ
εἰς τὴν σοῦ βασιλείαν. Ἀμήν.

---

## Κεφ: νη.

**Περὶ τοῦ μὴ σκοπεῖν τὰ ὑψηλότε-
ρα, καὶ τὰ κρυπτὰ κρίματα τοῦ θεοῦ.**

α. Τέκνον, φυλάττου περὶ τῶν ὑψηλῶν
ὑποθέσεων καὶ τῶν κρυπτῶν κριμάτων
τοῦ θεοῦ διαλέγεσθαι, διὰ τί ὁ μὲν οὕτως
παραλείπεται, ὁ δ᾽ εἰς τοσοῦτο ἀξίωμα παρα-
λαμβάνεται. διὰ τί ὁ εἰς τοσοῦτο κα-
κοῦται, ὁ δὲ ἕτερος οὕτω ἐξαιρέτως ὑ-
ψοῦται. ταῦτα πᾶσαν ἀνθρωπίνην δύ-
ναμιν ὑπερβαίνει, καὶ οὐδεὶς λόγος, ἢ συ-
ζήτησις τὸ θεῖον κρίμα ἐξερευνῆσαι
δύναται. ὅτε οὖν ταῦτα ὁ ἐχθρός σοι ὑπο-
βάλλει, ἢ ἄνθρωποί τινες πολυπράγ-
μονες ἐρωτῶσι, μετὰ τοῦ προφήτου
ἀποκρίνου· δίκαιος εἶ κύριε, καὶ εὐθεῖαι
αἱ κρίσεις σου. καὶ τὸ, τὰ κρίματα

κυρίου ἀληθινὰ καὶ δίκαια ἐπὶ τὸ αὐτό. ταῖς κρίσεσι μου δεῖ δοξάζεσθαι, ἀλλ' οὐκ ἐξετάζειν, ὅτι τῇ διανοίᾳ τῇ ἀνθρωπίνῃ ἀνεξερεύνητά ἐστι.

---

κγ.

β. Πρὸς τούτοις μὴ ἐξέταζε, οὐδὲ διαλέγου περὶ τῶν ἀξιωμάτων τῶν ἁγίων, τίς ἂν τοῦ ἄλλου ἁγιώτερος ᾖ, ἢ τίς μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν γένηται. τοιαῦτα πολλάκις ἔριδας καὶ ἀνωφελεῖς διαφορὰς ποιεῖ, τήν τε ὑπερηφανίαν καὶ κενοδοξίαν αὐξάνει. ὅθεν οἱ φθόνοι καὶ διχοστασίαι γίνονται, τοῦ μὲν τοῦτον ἅγιον, τοῦ δ' ἄλλον ὑπερηφάνως προκρίνειν ἐπιχειροῦντος. τοιαῦτα δὲ βούλεσθαι γινώσκειν καὶ ἐξερευνᾶν μηδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον τοῖς ἁγίοις ἀπαρέσκει. ὅτι ἐγὼ οὐκ εἰμι ἀκαταστασίας θεός, ἀλλ' εἰρήνης, ἣ μᾶλλον ἐν τῇ ἀληθινῇ ταπεινότητι, ἢ ἐν τῇ ἰδίᾳ ὑψώσει κεῖται.

---

γ. Ἔνιοι τῷ τῆς ἀγάπης ζήλῳ πρὸς τούτους ἢ ἐκείνους μείζονι διαθέσει ἕλκονται, ἀλλὰ μᾶλλον ἀνθρωπίνῃ ἢ θείᾳ. ἐγώ εἰμι ὁ πάντας ἁγίους ποιήσας. ἐγὼ τὴν χάριν ἐδωρησάμην. ἐγὼ τὴν δόξαν ἔδωκα. ἐγὼ τὰς ἑκάστων ἀξίας γινώσκω. ἐγὼ προέφθασα αὐτοὺς ἐν εὐλογίαις χρηστότη-

βιβ: γ. κεφ: νη. στιγμὴ γ. ἀρχ. π. γ. κγ. Σκευῆς α-
τός μου. ἐγὼ προέγνων τοὺς ἀγαπητοὺς
πρὸ αἰώνων. ἐγὼ αὐτοὺς ἐξελεξάμην
ἐκ τοῦ κόσμου, ἀλλ' αὐτοὶ οὐκ ἐμὲ προ-
εξελέξαντο. ἐγὼ ἐκάλεσα διὰ τῆς χά-
ριτος, προσείλκυσα διὰ τοῦ ἐλέους. ἐγὼ δι-
ήγαγον αὐτοὺς διὰ ποικίλους πειρασμούς.
ἐγὼ ἐνέχεα παρακλήσεις μεγαλοπρε-
πεῖς, ἐγὼ τὴν ἐπιμονὴν δέδωκα, ἐγὼ
τὴν ὑπομονὴν αὐτῶν ἐστεφάνωσα.

---

δ. Ἐγὼ τὸν πρῶτον καὶ τὸν ἔσχατον γινώσκω,
ἐγὼ πάντας ἀτιμήτῳ ἀγάπῃ ἀγαπῶ. ἐγὼ
ἐν πᾶσιν ἁγίοις μου ἐπαινετός. ἐγὼ εὐλο-
γητὸς ὑπὲρ πάντα, καὶ τιμητὸς ἐν ἑκά-
στοις, οὓς οὕτως ἐνδόξως ἐμεγάλυνα, καὶ
προώρισα, μηδεμιᾶς ἀξίας ἰδίας προ-
ελθούσης. ὁ τοίνυν ἕνος τούτων τῶν ἐλα-
χίστων καταφρονῶν, τὸν μέγαν οὐ τιμᾷ,
ὅτι τὸν μικρὸν καὶ τὸν μέγαν ἐγὼ ἐποίησα,
καὶ ὁ καταλαλῶν τινος τῶν ἁγίων, κἀμοῦ
καὶ τῶν ἄλλων πάντων τῶν ἐν τῇ βασι-
λείᾳ τῶν οὐρανῶν καταλαλεῖ. πάντες ἕν
εἰσι διὰ συνδέσμου τῆς ἀγάπης· τὸ
αὐτὸ φρονοῦσι, τὸ αὐτὸ βούλονται, καὶ
πάντες ἀλλήλους ἀγαπῶσιν.

---

ε. Ἔτι δὲ ὅ πολλῷ ὑψηλότερόν ἐστι
μᾶλλον ἐμὲ ἢ αὐτοὺς καὶ τὰς ἀξίας αὐτῶν

ἀγαπῶσιν. ὑπὲρ γὰρ αὐτοὺς ἡρπασθέντες καὶ ἔξω τῆς φιλαυτίας ἑλκυσθέντες, ὅλοι εἰς τὴν ἀγάπην μεταπίπτουσιν, ἐν ᾗ καὶ ἀπολαυστικῶς ἀναπαύονται. μηδὲν ἔστι τὸ αὐτοὺς ἀποστρέφειν ἢ καταπνίξαι δυνάμενον· τῆς γὰρ αἰωνίου ἀληθείας πλησθέντες, τῷ τῆς ἀσβέστου ἀγάπης πυρὶ καίονται. σιωπάτωσαν οὖν οἱ σαρκικοὶ καὶ ψυχικοὶ ἄνθρωποι περὶ τῆς τῶν ἁγίων καταστάσεως διαλεγόμενοι, οἵτινες μόνον τὰς ἰδίας χαρὰς ἀγαπᾶν γινώσκουσιν. ἀφαιροῦνται καὶ προστιθέασι κατὰ τὸ ἐπιρρεπὲς αὐτῶν, οὐ καθὼς τῇ αἰωνίῳ ἀληθείᾳ ἀρέσκει.

---

ιϛ. Πολλοῖς μὲν ἡ ἄγνοια ἔνεστι, μάλιστα δὲ τοῖς μικρὸν φωτισθεῖσιν, οἵτινες σπανίως τῇ τελείᾳ καὶ πνευματικῇ ἀγάπῃ ἀγαπᾶν τινα ἐπίστανται. σφόδρα τῷ φυσικῷ πάθει καὶ τῇ ἀνθρωπίνῃ φιλίᾳ πρὸς τούτους ἢ ἐκείνους ἔτι ἑλκύονται, καὶ ὡς πρὸς τὰ κάτω ἔχουσιν, οὕτω καὶ τὰ οὐράνια φαντάζονται. ἀλλὰ μὴν ἀσύμβλητος διαφορά ἐστι τῶν τοῖς ἀτελέσιν ἐννοουμένων, καὶ τῶν τοῖς φωτισθεῖσιν ἀνδράσι διὰ τῆς ἀποκαλύψεως τῆς ἄνω θεωρουμένων.

---

ιζ. Φυλάττου τοίνυν τέκνον, περὶ μὲν τῶν τὴν ἐπιστήμην σου ὑπερβαλλόντων περιέργως φιλοσοφεῖν, μᾶλλον δ᾽ ἐπιμελοῦ καὶ φρόντιζε, ὅπως ὁ ἐλάχιστός γε ἐν τῇ βασιλείᾳ

βιβ: γ΄. κεφ: νη΄. στιχ: ζ΄. ἀχτγ. χγ΄. Σμε: α.
τοῦ θεοῦ εὑρίσκεσθαι δυνηθῇς. κἄν τις ἐγί-
νωσκε, τίς ἂν ἁγιώτερος τοῦ ἄλλου ἦν, ἢ
μείζων ἐδόκει, ἐν τῇ βασιλείᾳ τῶν οὐρα-
νῶν, τί αὐτὴ γνῶσις αὐτὸν ὠφέλει, εἰ μὴ
ἐξ αὐτῆς ἑαυτὸν ἐταπείνου, ϗ εἰς μείζω
ἔπαινον τοῦ ὀνόματός μου ἀνίστατο; πολλῷ
μᾶλλον τῷ θεῷ χαρίζεται, ὁ ἐπὶ τὸ τῶν ἁμαρ-
τιῶν αὐτοῦ μέγεθος, ϗ τὴν τῶν ἀρετῶν
ὀλιγότητα, ϗ ὅσον ἂν τῆς τῶν ἁγίων τε-
λειότητος ἀπέχει, διανοούμενος, ἢ ὁ περὶ
τῆς μείζονος, ἢ ἐλάττονος ὑπεροχῆς αὐ-
τῶν διαλεγόμενος. βέλτιόν ἐστι πρὸς
τοὺς ἁγίους, δεήσεις εὐλαβεῖς μετὰ δακρύ-
ων ποιῆσαι, ϗ τῶν αὐτῶν ἔνδοξον βοή-
θειαν ταπεινῶς ἐπικαλέσασθαι, ἢ τὰ
αὐτῶν ἀπόρρητα ματαίᾳ ἐξετάσει
διερευνᾷν.

η΄. Αὐτοὶ καλῶς ϗ κάλλιστα ἀρκοῦνται,
εἴπερ ἄνθρωποι ἀρκεῖσθαι ϗ τῆς μα-
ταιολογίας αὐτῶν κρατεῖν ἐδύναντο.
οὐ καυχῶνται ἐπὶ ταῖς ἰδίαις ἀξίαις,
μηδὲν δήπου ἀγαθὸν αὐτοῖς, ἀλλ' ἐμοὶ
ἀνατιθέντες, ὅτι πάντα αὐτοῖς ἐκ
τῆς ἀπείρου ἀγάπης μου ἐδωρησά-
μην, τοσαύτης φιλοθεΐας ϗ χαρᾶς ὑπερ-
εκχυνομένης πλήθονται, ὥστε μηδὲ-

μιᾶς δόξης ἐλλείπειν, ἀλλ' εὐδαιμονίας
τινὸς αὐτοὺς δύναμις ὑπερέχειν. πάντες
οἱ ἅγιοι, ὅσῳ ὑψηλότεροι τῇ δόξῃ, το-
σούτω ταπεινότεροι ἐν αὐτοῖς, καὶ μοι ἐγγύ-
τεροι καὶ προσφιλέστεροι τυγχάνουσι. διὸ
γέγραπται, ὅτι ἔβαλον τοὺς στεφάνους αὐτῶν
ἐνώπιον τοῦ θεοῦ, καὶ ἔπεσον ἐπὶ τὰ πρόσωπα
αὐτῶν ἐνώπιον τοῦ θρόνου, καὶ προσεκύνησαν
τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

θ. Πολλοὶ ζητοῦσι, τίς ἂν μείζων ᾖ ἐν τῇ
βασιλείᾳ τοῦ θεοῦ, ἀγνοοῦντες εἰ μετὰ τῶν
ἐλαχίστων συγκαταψηφισθῆναι ἀξιωθή-
σονται. μέγα ἐστὶ τὸν γοῦν ἐλάχιστον εἶναι
ἐν τῷ οὐρανῷ, ὅπου πάντες μεγάλοι εἰσίν.
ὅτι πάντες υἱοὶ τοῦ θεοῦ κληθήσονται, καὶ
ἔσονται. ὁ ὀλιγιστὸς ἔσται εἰς χιλιάδας,
ὁ δὲ ἁμαρτωλὸς ἑκατὸν ἐτῶν ἀποθαν-
εῖται. οἱ γὰρ μαθηταὶ ζητοῦντες, τίς ἄρα
μείζων ἦν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, τοι-
αύτης ἀποκρίσεως ἤκουσαν· ἐὰν μὴ στρα-
φῆτε καὶ γένησθε, ὡς τὰ παιδία, οὐ μὴ εἰσ-
έλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
ὅστις οὖν ταπεινώσει ἑαυτὸν, ὡς τὸ παιδί-
ον τοῦτο οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βα-
σιλείᾳ τῶν οὐρανῶν.

βιβ: γ. κεφ: νη. στιγμὴ ι. ἀ χπγ. κεφ ε. στιχ: β.

ι. Οὐαὶ τοῖς μετὰ τῶν παιδίων ἐχοντὶ
ταπεινῶσαι ἑαυτοὺς οὐ βουλομένοις, ὅτι
ἡ τῆς οὐρανίου βασιλείας θύρα ταπεινὴ
οὖσα αὐτοὺς εἰσελθεῖν οὐκ ἐάσει. πρὸς τού-
τοις, οὐαὶ τοῖς πλουσίοις, τοῖς ἔνθα τὰς
παρακλήσεις αὐτῶν ἔχουσιν, ὅτι τῶν
πτωχῶν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσερ-
χομένων, αὐτοὶ ὀλολύζοντες ἔξω στή-
σονται. εὐφράνθητε ταπεινοί, καὶ ἀγαλ-
λιᾶσθε πτωχοί, ὅτι ὑμῶν ἐστὶν ἡ βασι-
λεία τοῦ θεοῦ, μόνον ἐν τῇ ἀληθείᾳ πε-
ριπατεῖτε..

---

## Κεφ: νθ.

### Ὅτι δεῖ πᾶσαν ἐλπίδα καὶ πεποίθη-σιν ἐν τῷ θεῷ ἔχειν.

α. Κύριε, τίς ἐστιν ἡ πεποίθησίς μου,
ἣν ἐν τῇ ζωῇ ταύτῃ ἔχω; ἢ τίς μείζων
παραμυθία μου ἐκ πάντων τῶν ὑπὸ τὸν
οὐρανὸν φαινομένων; οὐχὶ σύ, κύριε ὁ θεός
μου, οὗτινος ἐλέους οὐκ ἔστιν ἀριθμός; ποῦ κα-
λῶς εἶχον χωρὶς σοῦ; ἢ πότε κακῶς ἔχειν
ἠδυνήθην παρόντος σοῦ; μᾶλλον βούλομαι
πτωχεύειν διὰ σέ, ἢ ἄνευ σοῦ πλουτεῖν.
προαιροῦμαι συναποδημεῖν σοι ἐπὶ τῆς
γῆς, ἀντὶ τοῦ τὸν οὐρανὸν χωρὶς σοῦ κτή-
σασθαι. ὅπου σὺ εἶ, ὁ οὐρανός. ἐκεῖ δὲ ὁ θάνα-

τος καὶ ὁ ᾅδης, ὅπου σὺ ἄπει, σὲ ἐπιποθῶ, καὶ διὰ τοῦτο δεῖ ἐμὲ ὀπισθέν σου στενάζειν, κράζειν τε καὶ ἀντιβολεῖν. τέλος δὲ μηδενὶ, παντελῶς πεποιθέναι δύναμαι, ὃς ἂν ἐν ταῖς ἀνάγκαις εὐκαίρως βοηθήσῃ εἰ μὴ σοὶ μόνῳ τῷ θεῷ μου. σὺ εἶ ἐλπίς μου· σὺ παράκλητός μου, καὶ πιστότατος ἐν πᾶσιν.

---

β. Οἱ πάντες τὰ ἑαυτῶν ζητοῦσι· σὺ μόνον τῆς σωτηρίας μου, καὶ τῆς προκοπῆς μου φροντίζεις, καὶ πάντα εἰς ἀγαθόν μοι ἐπιστρέφεις. κἂν εἰς ποικίλους πειρασμοὺς καὶ συμφορὰς ἐμὲ καθίσῃς, ὅλον τοῦτο εἰς τὸ ὠφελῆσαί με κατευθύνεις, ὃς χιλιοτρόπως τοὺς ἐκλεκτοὺς σου δοκιμάσαι εἴωθας. ἐν ταύτῃ δὲ δοκιμασίᾳ οὐχ ἧττον χρὴ ἀγαπᾶν καὶ ἐπαινεῖν σε, ἤπερ εἰ τῶν οὐρανίων παρακλήσεων με ἔπληθες.

---

γ. Ἐν σοὶ τοίνυν, κύριε ὁ θεός, τίθημι ὅλην τὴν ἐλπίδα καὶ καταφυγήν μου· ἐν σοὶ πᾶσαν τὴν θλίψιν καὶ τὴν στενοχωρίαν μου καθίστημι, ὅτι πᾶν ἀσθενὲς καὶ ἀσταθὲς εὑρίσκω, ὅ,τι ἔξω σου βλέπω. οὐ γὰρ λυσιτελήσουσι πολλοὶ φίλοι, οὐδὲ δυνήσονται ἰσχυροὶ βοηθοὶ ἐπικουρεῖν, οὐδὲ φρόνιμοι βουλευταὶ συμφέρουσαν ἀπόκρισιν διδόναι, οὐδὲ βίβλοι τῶν διδασκάλων παραμυθεῖσθ

βιβ: γ. κεφ: νθ, σιγμὰ ι. ͵αχπγ. κδ Ἰαν: β.
οὐδὲ τιμία οὐσία λυτροῦν, οὐδὲ τόπος ἀπο-
κεχωρισμένος καὶ κρυφερὸς ἀσφαλίζειν,
εἰ μὴ σὺ αὐτὸς παρίστασαι, βοηθεῖς, δυ-
ναμοῖς, παρακαλεῖς, παιδεύεις καὶ φυλάττεις.

---

δ. Ἅπαντα γὰρ τὰ εἰς εἰρήνην καὶ εὐδαιμο-
νίαν φέρειν δοκοῦντα, ἀπόντος σοῦ, μηδέν ἐστι,
καὶ ἀληθῶς μηδεμίαν εὐδαιμονίαν παρέχει.
τὸ τέλος οὖν πάντων ἀγαθῶν, καὶ τὸ ὕψος τῆς
ζωῆς, καὶ τὸ βάθος τῶν λογίων σὺ ὑπάρχεις, καὶ
τὸ ἐπί σε ὑπὲρ πάντα ἐλπίζειν ἰσχυροτάτη
παραμυθία τῶν δούλων σου ἐστί. πρὸς σὲ ὀφ-
θαλμοί μου εἰσιν, ἐπὶ σοὶ πέποιθα ὁ θεός
μου, ὁ πατὴρ τῶν οἰκτιρμῶν. εὐλόγει καὶ
ἁγίαζε τὴν ψυχήν μου εὐλογίᾳ τῇ οὐρανίῳ,
ἵνα γένηται ἁγία οἴκησις σου καὶ θρόνος τῆς αἰ-
ωνίου δόξης σου· καὶ μηδὲν ἐν τῷ ναῷ τοῦ ἀξι-
ώματός σου εὑρεθῇ, ὅ,τι ἂν τοὺς ὀφθαλμοὺς
τῆς μεγαλειότητός σου προσκρούσῃ. κατὰ τὸ
μέγεθος τῆς χρηστότητός σου, καὶ τὸ πλῆθος τῶν
οἰκτιρμῶν σου ἀπόβλεψον εἰς ἐμὲ, καὶ εἰσάκουε
τῆς δεήσεως τοῦ δούλου σου, τοῦ μακρὰν μετ-
οικοῦντος ἐν χώρᾳ σκιᾶς θανάτου. φύλαττε
καὶ σῶζε τὴν ψυχὴν τοῦ δουλαρίου σου, μετα-
ξὺ τοσούτων κινδύνων τῆς φθαρτῆς ζωῆς· καὶ τῆς
χάριτός σου παρακολουθούσης, κατεύθυνε αὐτὴν
δι᾽ ὁδοῦ τῆς εἰρήνης εἰς πατρίδα τῆς αἰωνίου
λαμπρότητος. Ἀμήν. ΤΕΛΟΣ. δκ.

α. Χπγ. ιϛ Τασχηλιώνος. ε. Η ὑπὲρ τῶν τεθνηκότων ἀκολουθία.

Εὐαρεστήσω.

Ἠγάπησα, ὅτι εἰσακούσεται κύριος· τῆς φωνῆς τῆς δεήσεώς μου.

Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί· καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Περιέσχον με ὠδῖνες θανάτου· κίνδυνοι ᾅδου εὕροσάν με.

Θλίψιν καὶ ὀδύνην εὗρον· καὶ τὸ ὄνομα κυρίου ἐπεκαλεσάμην.

Ὦ κύριε ῥῦσαι τὴν ψυχήν μου, ὁ κύριος καὶ δίκαιος ἐλεήμων· καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ.

Φυλάσσων τὰ νήπια ὁ κύριος· ἐταπεινώθην, καὶ ἔσωσέ με.

Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου· ὅτι κύριος εὐηργέτησέ σε.

Ὅτι ἐξείλετο τὴν ψυχήν μοι ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων· καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Εὐαρεστήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων.

Ἀνάπαυσιν αἰώνιον δώρησον αὐτοῖς κύριε· καὶ φῶς αἰώνιον λαμπέτω αὐτοῖς.

ᾳχπγ. ιϛ Ταργ: 5.

Εὐαρεστήσω ἐνώπιον κυρίου· ἐν χώρᾳ ζώντων. Οἴμοι.

Πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα· καὶ εἰσήκουσέ μου.

Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων· καὶ ἀπὸ γλώσσης δολίας.

Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα· σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Δόξα πατρὶ καὶ υἱῷ· καὶ πνεύματι ἁγίῳ.

---

Ἀνάπαυσιν αἰώνιον δώρησον αὐτοῖς κύριε· καὶ φῶς αἰώνιον φεγγέτω αὐτοῖς.

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. Κύριος.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη· ὅθεν ἥξει ἡ βοήθειά μου.

Ἡ βοήθειά μου παρὰ κυρίου· τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Μὴ δῴη εἰς σάλον τὸν πόδα μου· μη-
δὲ νυστάξῃ ὁ φυλάσσων σε.
Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει· ὁ φυλάσσ-
ων τὸν Ἰσραήλ.
Κύριος φυλάξοι σε, κύριος σκέπη σου·
ἐπὶ χεῖρα δεξιάν σου.
Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε· οὐδὲ
ἡ σελήνη τὴν νύκτα.
Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ·
φυλάξοι τὴν ψυχήν σου κύριος.
Κύριος φυλάξοι τὴν εἴσοδόν σου καὶ
τὴν ἔξοδόν σου· ἀπὸ τοῦ νῦν, καὶ ἕως
τοῦ αἰῶνος.
Ἀνάπαυσιν. ὡς ἀνωτέρω.

Κύριος φυλάξαι σε ἀπὸ
παντὸς κακοῦ, φυλάξαι
τὴν ψυχήν σου κύριος.
Ἐὰν ἀνομίας

Ἐκ βαθέων ἐκέκραξά σοι κύριε· κύ-
ριε εἰσάκουσον τῆς φωνῆς μου.
Γενηθήτω τὰ ὦτά σου προσέχοντα·
εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.
Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε·
κύριε ~~τῆς~~ τίς ὑποστήσεται;
Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι· καὶ ἕνε-
κεν τοῦ ὀνόματός σου ὑπέμεινά σε
κύριε.
Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.

ἀχπγ. ιϛ Ταργ: ε.
ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς
ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον.

Ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος· καὶ πολλὴ
παρ' αὐτῷ λύτρωσις.

Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ
ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ἀναπαυσιν. ὡς ἀνωτέρω.

Ἐὰν ἀνομίας παρατηρήσῃς
κύριε, κύριε τίς ὑποστήσεται.

Τὰ ἔργα.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ
καρδίᾳ μου· ὅτι εἰσήκουσας πάντα
τὰ ῥήματα τοῦ στόματός μου.

Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι·
προσκυνήσω πρὸς ναὸν ἅγιόν σου· καὶ
ἐξομολογήσομαι τῷ ὀνόματί σου.

Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου·
ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα
τὸ ἅγιόν σου.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε τα-
χὺ ἐπάκουσόν μου· πληρώσεις τὴν ψυ-
χή μου δυνάμει σου.

Ἐξομολογησάσθωσάν σοι πάντες οἱ βα-
σιλεῖς τῆς γῆς· ὅτι ἤκουσαν πάντα τὰ
ῥήματα τοῦ στόματός σου.

Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς κυρίου·

ὅτι μεγάλη ἡ δόξα κυρίου.

Ὅτι ὑψηλὸς κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ· καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με, ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖρά σου· καὶ ἔσωσέ με ἡ δεξιά σου.

Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ, κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Ἀνάπαυσιν. ὡς ἀνωτέρω.

Τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Στίχος. ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης μοι.

Μακάριοι οἱ νεκροὶ, οἱ ἐν κυρίῳ ἀποθνήσκοντες

Πᾶν ὃ δίδωσι.

Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον.

Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

ᾳ χπγ. ιζ θαςγ: ζ.

Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γε-
νεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ·
διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ
καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων· καὶ
ὕψωσε ταπεινούς.

Πεινῶντας ἐνέπλησεν ἀγαθῶν· καὶ
πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ·
μνησθῆναι ἐλέους αὐτοῦ.

ιη. α.

Καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας
ἡμῶν· τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι
αὐτοῦ εἰς τὸν αἰῶνα.

Ἀνάπαυσιν ὡς ἀνωτέρω.

Πᾶν ὃ δίδωσί μοι ὁ πα-
τὴρ, πρὸς ἐμὲ ἥξει· καὶ τὸν
ἐρχόμενον πρὸς με, οὐ
μὴ ἐκβάλλω ἔξω.

Πάτερ ἡμῶν.

Αἴνει ἡ ψυχή μου τὸν κύριον, αἰνέσω
κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ θεῷ
μου ἕως ὑπάρχω.

Μὴ πεποίθετε ἐπ' ἄρχοντας, ἐπ' υἱοὺς ἀνθρώπων· οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος οὗ ὁ θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ· τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις· διδόντα τροφὴν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους· κύριος φωτίζει τυφλούς.

Κύριος ἀνορθοῖ κατερραγμένους. κύριος ἀγαπᾷ δικαίους.

Κύριος φυλάσσει τοὺς προσηλύτους, ὀρφανὸν, καὶ χήραν ἀναλήψεται·

κ. γ.

καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα ὁ θεός σου Σιών· εἰς γενεὰν καὶ γενεάν. Ἀνάπαυ

αχπγ. α θαργηλιῶνος. ν. †
Ἀναπαυέσθωσαν ἐν εἰρήνῃ. Ἀμήν.

Κύριε ἐπάκουσον τῆς προσευχῆς μου.
καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.
ὁ κύριος μεθ' ἡμῶν.

Εὐχή.

Ὁ θεὸς ὅσγε μεταξὺ τῶν ἀποστολικῶν ἱερέων τοὺς δούλους σου ἀρχιερωσύνῃ ἢ καὶ ἱερωσύνῃ ἀκμάζειν ἐποίησας; παράσχου δεόμεθα, ὡς εἰς τὴν αὐτῶν εἰς αἰῶνα συναχθείησαν ἑταιρίαν.

Εὐχή.

Ὁ θεὸς συγγνώμην χαριζόμενος καὶ τῆς ἀνθρωπείου σωτηρίας ἐραστής, δεόμεθα τῆς μεγάλης φιλανθρωπίας σου, ὅπως τοὺς τῆς ἡμετέρας κοινωνίας ἀδελφούς τε καὶ ἀδελφάς, συγγενεῖς καὶ εὐεργέτας ἡμῶν τεθνηκότας, μακαρίας Μαρίας τῆς παρθένου πρεσβευούσης μετὰ τῶν ἁγίων ἁπάντων εἰς τὴν ἀιδίας μακαριότητος ἑταιρίαν ἀφικνεῖσθαι παράσχῃ.

Εὐχή.

Ταῖς τῶν πιστῶν ὁ πάντων κτίστης καὶ λυτρωτὴς θεός, θεραπόντων καὶ θερα-

παινῶν σου ψυχαῖς ἄφεσιν τῶν ἁμαρτημάτων παράσχου, ὅπως ἣν ἀεὶ οἰκτραῖς δεήσεσιν ἐπεθύμησαν, τῆς σῆς ἐπιτύχωσιν εὐσπλαγχνίας. Ὃς ζῇς καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀνάπαυσιν. Ἀναπαυέσθωσαν ἐν εἰρήνῃ. Ἀμήν.

+ Ἀπὸ τῶν ᾅδου πυλῶν. Ῥῦσαι κύριε τὰς ψυχὰς αὐτῶν.